b) Da andererseits in jeder Nacht 6 Zeichen in 34 12 (Nacht-) Stunden und an jedem Tage 6 Zeichen in 12 (Tag-) Stunden untergehen, so ergiebt sich hieraus, dafs in Tag und Nacht zusammen 12 Zeichen in 24 Äquinoktialstunden untergehen, 1 Zeichen also durchschnittlich in 2 Äquinoktialstunden.

c) Aus dem vorstehenden ergiebt sich weiter, dafs 35 1 Zeichen in 2 Stunden aufgeht und in 2 Stunden untergeht, also in 4 Äquinoktialstunden auf- und untergeht. Und so ist bei allen Zeichen die Summe von Auf- und 36 Untergangszeit gleich der Zeit von 4 Äquinoktialstunden.

3. Diejenigen Zeichen, welche die längste Aufgangs- 37 zeit haben, haben die kürzeste Untergangszeit. Umgekehrt haben diejenigen, welche die kürzeste Aufgangszeit haben, die längste Untergangszeit.

ριναῖς δ′ V[2]V, *καὶ ιβ′ ζώδια ἀνατέλλει καὶ δύνει ἐν ὥραις ἰσημεριναῖς κδ′* edd.; *et apparet, quod signum unum occidit in duabus horis, tunc oportet necessario, ut signum unum oriatur et occidat in 4 horis ex horis equalibus* Lat. ‖ 19. Ad *ἰσημεριναῖς* nota ad marg. scripta m. 2 V[1]: *ἐγὼ δὲ ἐν ὥραις λέγω καιρικαῖς δ′, οὐ μὴν ἰσημεριναῖς.* — m. 1 P[2]: *ἐγὼ δὲ λέγω ἐν ὥραις καιρικαῖς δ′, οὐ μὲν ἰσημεριναῖς.* Hanc notam non habet B. ‖ 21. *χρόνῳ* add. ed. pr., om. cett.; *equale tempori 4 horarum* Lat. ‖ 22. *τεσσάρων**] *δ′* codd., *κδ′* edd.

Cap. VIII.

Περὶ μηνῶν.

1 *Μήν ἐστι χρόνος ἀπὸ συνόδου ἐπὶ σύνοδον ἢ ἀπὸ πανσελήνου ἐπὶ πανσέληνον. ἔστι δὲ σύνοδος μέν, ὅταν ἐν τῇ αὐτῇ μοίρᾳ γένηται ὁ ἥλιος καὶ ἡ σελήνη·* C *τοῦτο δέ ἐστι περὶ τὴν τριακάδα σελήνης. πανσέληνος* 6 *δὲ λέγεται, ὅταν ἡ σελήνη κατὰ διάμετρον γένηται τῷ* 2 *ἡλίῳ· τοῦτο δέ ἐστι περὶ τὴν διχομηνίαν. ἔστι δὲ ὁ μηνιαῖος χρόνος ἡμερῶν κθ΄ ∽΄΄ λγ^{ου}. ἐν δὲ τῷ μηνιαίῳ χρόνῳ ἡ σελήνη διαπορεύεται τόν τε τῶν ζῳ-* 10 *δίων κύκλον καὶ ἔτι τὴν περιφέρειαν, ἣν ὁ ἥλιος ἐν τῷ μηνιαίῳ χρόνῳ εἰς τὰ ἑπόμενα τῶν ζῳδίων μεταβαίνει· αὕτη δέ ἐστιν ὡς ἔγγιστα ζῳδίου. ὥςτε ἐν τῷ μηνιαίῳ χρόνῳ ιγ΄ ζῴδια ὡς ἔγγιστα κινεῖσθαι τὴν* D *σελήνην.* 15

3 *Ἔστι δὲ ὁ μὲν ἀκριβὴς μηνιαῖος χρόνος, καθάπερ εἴρηται, ἡμερῶν κθ΄ ∽΄΄ λγ^{ου}, ὁ δὲ πρὸς τὴν πολιτικὴν ἀγωγὴν ὁλοσχερέστερον λαμβανόμενος ἡμερῶν κθ΄ ∽΄΄, ὥςτε τὴν δίμηνον γενέσθαι ἡμερῶν νθ΄. ὅθεν διὰ ταύτην τὴν αἰτίαν οἱ κατὰ πόλιν μῆνες ἐναλλὰξ ἄγονται* 20 *πλήρεις καὶ κοῖλοι διὰ τὸ τὴν ⟨κατὰ⟩ σελήνην δίμηνον* 4 *ἡμερῶν εἶναι νθ΄. ἐκ δὲ τούτων συνάγεται ὁ κατὰ σελήνην ἐνιαυτὸς ἡμερῶν τνδ΄. ἐὰν γὰρ τὰς τοῦ μηνὸς ἡμέρας* E *τὰς κθ΄ ∽΄΄ δωδεκάκις πολυπλασιάσωμεν, ἀποτελεσθήσονται ἡμέραι αἱ τοῦ κατὰ σελήνην ἐνιαυτοῦ τνδ΄.* 25 5 *ἄλλος γάρ ἐστι καθ᾽ ἥλιον ἐνιαυτὸς καὶ ἄλλος κατὰ*

---

3. post *συνόδου* lacuna, ad marg. add. *σεληv* P². ‖ 4. pro *σύνοδος* ☾^{ος} ☌ V¹BP¹, *σελήνης σύνοδος* P². | *μὲν* om. H. ‖ 5. *ἐν αὐτῇ τῇ* ed. pr. | *γίνηται* P² hic et infra 7. ‖ 6. *τοῦτο δέ ἐστι**] *τουτέστι* codd., *τοῦτ᾽ ἐστὶ* ed. pr., *τοῦτ᾽ ἔστι* Ur. H. Mi.; cf.

Achtes Kapitel.

Von den Monaten.

Monat ist die Zeit von einer Konjunktion bis zur nächsten oder von einem Vollmonde bis zum andern. Eine Konjunktion findet statt, wenn Sonne und Mond sich in demselben Grade befinden. Dieser Fall tritt am 30ten des Monats ein. Vollmond ist, wenn der Mond der Sonne diametral gegenübersteht. Dieser Fall tritt um die Mitte des Monats ein. Die Zeit eines Monats beträgt $29\frac{1}{2} + \frac{1}{33}$ Tage.[4]) In der Zeit eines Monats durchläuft der Mond nicht nur den Tierkreis, sondern auch noch die Bogenstrecke, welche die Sonne in der Zeit eines Monats in der Richtung der Zeichen zurücklegt; dieselbe beträgt aber ungefähr ein Zeichen. So legt denn der Mond in der Zeit eines Monats ungefähr 13 Zeichen zurück. 1 2

Die genaue Zeit des Monats beträgt, wie gesagt, $29\frac{1}{2} + \frac{1}{33}$ Tage. Allein für die bürgerliche Zeitrechnung wird die Monatszeit auf $29\frac{1}{2}$ Tage abgerundet, sodafs der Doppelmonat gleich 59 Tagen ist. Aus diesem Grunde werden die bürgerlichen Monate abwechselnd voll (zu 30 Tagen) und hohl (zu 29 Tagen) genommen, weil der Doppelmonat 59 Tage hat. Hieraus ergiebt sich das Mondjahr zu 354 Tagen. Wenn man nämlich die $29\frac{1}{2}$ Tage des Monats mit 12 multipliziert, so werden die 354 Tage des Mondjahres das Ergebnis sein. Es ist nämlich zwischen Mondjahr und Sonnenjahr zu unter- 3 4 5

---

ind. gr. s. v. *οὗτος*. ‖ 7. pro *λέγεται γίνεται* legendum esse videtur: *et oppositio est* Lat. | *κατὰ διάμ.*] *κατὰ ο÷ο* V^1B (ad marg. *ἴσον*) P^1, *κατὰ διάμ.* in textu, ad marg. *ο÷ο* P^2. ‖ 8. *δ' ἐστὶ* $V^1P^1V^2$. | *ὁ* om. edd. ‖ 13. *αὐτὴ* edd. ‖ 17—18. *ὁ δὲ — λαμβανόμενος**] *οἱ δὲ — λαμβανόμενοι* vulg. ‖ 18. *μηνιαῖοι χρόνοι εἰσὶν* ante *ἡμερῶν* add. edd.; *secundum vero quod currit in usu civili, est 29 dies et medietas diei* Lat. ‖ 19. *τὸν δίμηνον χρόνον* edd. ‖ 21. *κατὰ* supplevi, cf. ind. gr. s. v. *δίμηνος*. ‖ 22. *τούτου* V^2. ‖ 23. *ἐὰν*] *κἂν* V^1P^1. ‖ 24. *πολυπλασ.* V^2V: *πολλαπλασ.* cett.

σελήνην. ὁ μὲν γὰρ τοῦ ἡλίου ιβ΄ ζῳδίων ἔχει περιδρομὴν τοῦ ἡλίου, ὅπερ εἰσὶν ἡμέραι τξε΄ δ^{ov}, ὁ δὲ τῆς
41 σελήνης ιβ΄ μηνῶν περιέχει χρόνον τῆς σελήνης, ὅπερ εἰσὶν ἡμέραι τνδ΄.

6 Ἐπεὶ ⟨οὖν⟩ οὔτε ὁ μὴν ἐξ ὅλων ἡμερῶν συνέστηκεν 5 οὔτε ὁ καθ' ἥλιον ἐνιαυτός, ἐζητεῖτο [οὖν] χρόνος ὑπὸ 32 A τῶν ἀστρολόγων, ὃς περιέξει ὅλας ἡμέρας καὶ ὅλους μῆνας καὶ ὅλους ἐνιαυτούς. πρόθεσις γὰρ ἦν τοῖς ἀρχαίοις τοὺς μὲν μῆνας ἄγειν κατὰ σελήνην, τοὺς δὲ ἐνιαυτοὺς
7 καθ' ἥλιον. τὸ γὰρ ὑπὸ τῶν νόμων καὶ τῶν χρησμῶν 10 παραγγελλόμενον, τὸ θύειν κατὰ [γ΄, ἤγουν] τὰ πάτρια, [μῆνας ἡμέρας ἐνιαυτούς,] τοῦτο διέλαβον ἅπαντες οἱ Ἕλληνες τὸ τοὺς μὲν ἐνιαυτοὺς συμφώνως ἄγειν τῷ
8 ἡλίῳ, τὰς δὲ ἡμέρας καὶ τοὺς μῆνας τῇ σελήνῃ. ἔστι B δὲ τὸ μὲν καθ' ἥλιον ἄγειν τοὺς ἐνιαυτοὺς τὸ περὶ 15 τὰς αὐτὰς ὥρας τοῦ ἐνιαυτοῦ τὰς αὐτὰς θυσίας τοῖς θεοῖς ἐπιτελεῖσθαι καὶ τὴν μὲν ἐαρινὴν θυσίαν διὰ παντὸς κατὰ τὸ ἔαρ συντελεῖσθαι, τὴν δὲ θερινὴν κατὰ τὸ θέρος, ὁμοίως δὲ καὶ κατὰ τοὺς λοιποὺς καιροὺς
9 τοῦ ἔτους τὰς αὐτὰς θυσίας πίπτειν. τοῦτο γὰρ ὑπέ- 20 λαβον προσηνὲς καὶ κεχαρισμένον εἶναι τοῖς θεοῖς. τοῦτο δ' ἄλλως οὐκ ἂν δύναιτο γενέσθαι, εἰ μὴ αἱ τροπαὶ καὶ αἱ ἰσημερίαι περὶ τοὺς αὐτοὺς μῆνας γί- C
10 νοιντο. τὸ δὲ κατὰ σελήνην ἄγειν τὰς ἡμέρας τοιοῦτόν ἐστι τὸ ἀκολούθως τοῖς τῆς σελήνης φωτισμοῖς τὰς 25 προσηγορίας τῶν ἡμερῶν γίνεσθαι.

---

1. τῶν ιβ΄ ζωδίων H. ‖ 2. τοῦ ἡλίου post περιδρομὴν om. V[1]P[1]; *tempus in quo sol percurrit signa 12* Lat. ‖ 3. τῆς σελήνης post χρόνον om. V[1]P[1]; *tempus 12 mensium lunarium* Lat. | ὅπερ ἐστὶν edd. ‖ 5. οὖν transposui ex lin. 6. ‖ 6. ὁ P[1]V (insertum supra lineam) edd.: om. V[1]V[2]. | post ἐνιαυτός (ἐνιαυτοῦ V[1])

scheiden. Das Sonnenjahr umfafst einen Umlauf der Sonne durch die 12 Zeichen, das sind $365\frac{1}{4}$ Tage, das Mondjahr aber umfafst einen Zeitraum von 12 Mondmonaten, das sind 354 Tage.

Da nun weder der Monat noch das Sonnenjahr aus 6 ganzen Tagen besteht, so wurde von den Astronomen ein Zeitraum gesucht, welcher ganze Tage, ganze Monate und ganze Jahre umfassen sollte. Es geschah nämlich vorsätzlich bei den Alten, die Monate nach dem Monde und die Jahre nach der Sonne zu rechnen. Die von den Ge- 7 setzen und den Orakeln gestellte Forderung, die Opfer „in der Väter Weise“ darzubringen, fafsten die Griechen alle so auf, dafs sie die Jahre in Übereinstimmung mit der Sonne, die Tage und die Monate in Übereinstimmung mit dem Monde erhielten. Die Jahre nach der Sonne 8 rechnen heifst aber, den Göttern dieselben Opfer in denselben Jahreszeiten darbringen, d. h. das Frühlingsopfer soll immer im Frühling, das Sommeropfer immer im Sommer dargebracht werden, desgleichen sollen auch in die übrigen Jahreszeiten dieselben Opfer fallen. Denn 9 sie nahmen an, dafs dies den Göttern angenehm und wohlgefällig sei. Dies kann aber nur dann geschehen, wenn die Wenden und die Nachtgleichen immer in denselben Monaten stattfinden. Die Tage aber nach dem 10 Monde rechnen heifst, die Benennungen der Tage in Übereinstimmung mit den Lichtgestalten des Mondes erhalten.

---

punctum codd. ed. pr. Ur. Mi., comma H.; *et propterea quod mensis non est ex agregatione dierum integrorum neque annus solaris pervenit ad dies integros, quesiverunt astrologi tempus* Lat. | *οὖν*] *γοῦν* P[1]. | *ὑπὸ*] *ἐπὶ* V[1]P[1]V[2]. ‖ 7. *περιέχει* Mi. ‖ 8. In verba *πρόθεσις γὰρ* desinit P[2]. ‖ 11. *κατὰ τρεῖς· ἤγουν* P[1], *κατὰ τρεῖς η^{ου}* V[1]. | *γ'*, *ἤγουν* et *μῆνας ἡμ. ἐν.* glossema esse apparet, cf. 106, 6; *secundum regulam assumptam a patribus* (*prioribus* D) Lat. ‖ 13. *τῷ τοὺς* edd. ‖ 22. *δὲ ἄλλως* Mi. ‖ 23. *μῆνας* V[2]: *τόπους* cett.; *nisi due conversiones et due equalitates in mensibus unis et eisdem semper sunt assidue* Lat. | *γίγνοιντο* V[2]V edd.

11 *Ἀπὸ γὰρ τῶν τῆς σελήνης φωτισμῶν αἱ προσηγορίαι τῶν ἡμερῶν κατωνομάσθησαν. ἐν ᾗ μὲν γὰρ ἡμέρᾳ νέα ἡ σελήνη φαίνεται, κατὰ συναλοιφὴν νουμηνία προσηγορεύθη· ἐν ᾗ δὲ ἡμέρᾳ τὴν δευτέραν φάσιν ποιεῖται, δευτέραν προσηγόρευσαν· τὴν δὲ κατὰ μέσον* 5
τοῦ μηνὸς γινομένην φάσιν τῆς σελήνης ἀπ' αὐτοῦ D
12 *τοῦ συμβαίνοντος διχομηνίαν ἐκάλεσαν. καὶ καθόλου δὲ πάσας τὰς ἡμέρας ἀπὸ τῶν τῆς σελήνης φωτισμῶν*
42 *προσωνόμασαν. ὅθεν καὶ τὴν τριακοστὴν τοῦ μηνὸς ἡμέραν ἐσχάτην οὖσαν ἀπ' αὐτοῦ τοῦ συμβαίνοντος* 10
13 *τριακάδα ἐκάλεσαν. τούτοις δὲ ἀκολούθως καὶ ὁ Ἄρατος ἐπὶ τῶν προσηγοριῶν τῶν ἡμερῶν ἀποφαίνεται λέγων οὕτως·*

733 *οὐχ ὁράᾳς; ὀλίγη μὲν ὅταν κεράεσσα σελήνη* E
ἑσπερόθεν φαίνηται, ἀεξομένοιο διδάσκει 15
μηνός, ὅτε πρώτη ἀποκίδναται ἔνδοθεν αὐγή·
ὅσσον ἐπισκιάει ⟨δ'⟩ ἐπὶ τέτρατον ἦμαρ ἰοῦσα·
ὀκτὼ δ' ἐν διχάσει· διχόμηνα δὲ παντὶ προσώπῳ·
αἰεὶ δ' ἄλλοθεν ἄλλα παρακλίνουσα μέτωπα 33 A
εἴρει, ὁποσταίη μηνὸς περιτέλλεται ἠώς. 20

ἐν γὰρ τούτοις σαφῶς φησιν ἐκ τῶν φωτισμῶν τῆς σελήνης τὰς προσηγορίας τῶν ἡμερῶν κατωνομάσθαι.
14 *τοῦ δὲ κατὰ σελήνην ἄγειν ἀκριβῶς τὰς ἡμέρας παράδειγμά ἐστι τὸ τὰς μὲν τοῦ ἡλίου ἐκλείψεις γίνεσθαι τῇ τριακάδι· τότε γὰρ συνοδεύει ἡ σελήνη τῷ ἡλίῳ* 25
καὶ κατὰ τὴν αὐτὴν μοῖραν γίνεται· τὰς δὲ τῆς σελή- B

3. *νουμηνία* P[1], ut scribi voluit *Pet.*: *νεομηνία* cett. ‖ 6. *ἀπὸ αὐτοῦ* edd. hic et infra 10. ‖ 7. *συμβάντος* V ed. pr., *συμβαιόντος* Ur. H. (recte Mi.) ‖ 9. *τριακοστὴν*] $\overline{\lambda}$ codd. ‖ 14. *ὁράας* V[2] Ur. H. Mi., *ὁρᾷς* V[1]P[1]V, *ὁράεις* ed. pr. | *κεράεσσι* edd. ‖ 15. *φαίνεται* V[1]P[1]V. ‖ 16. *ἔνδοθεν*] *αὐτόθεν* edd. ‖ 17. *ὅσον* codd. | *ἐπισκιάσει* V[1]P[1], *ἐπισκιάειν* edd. | *δ'* adieci ex Arato ed. *Maass.* | *ἐπὶ*

Von den Lichtgestalten des Mondes sind nämlich die Benennungen der Tage hergenommen. Der Tag, an welchem der neue Mond sichtbar wird, wurde in Anknüpfung hieran Neumond genannt, den Tag, an welchem die zweite Erscheinung stattfindet, nannte man den zweiten, die um die Mitte des Monats eintretende Erscheinung des Mondes hiefs nach diesem Zusammentreffen Mittelmond (Vollmond). Und so benannte man überhaupt alle Tage nach den Lichtgestalten des Mondes. Daher nannte man auch den letzten Tag des Monats, d. i. den 30ten, nach dem Zusammentreffen Triakade. Dem entsprechend drückt sich auch Aratos bezüglich der Benennungen der Tage aus, indem er also sagt: 11 12 13

733 Siehst du sie nicht? wann sie wieder erscheint mit winzigen Hörnlein,
Luna am westlichen Himmel, vom neu anwachsenden Monat
Lehrt sie, sobald sich der erste Schimmer von ihr aus ergiefset;
Wirft sie dann erst einen Schatten, so geht sie zum vierten der Tage;
Halb dann am achten, zur Monatsmitte gerundet als Vollmond,
Stets von anderer Stelle ein anderes Antlitz uns zeigend,
Meldet sie dir, der wievielte der Monatstage bald abläuft.

Hiermit spricht er deutlich aus, dafs die Benennungen der Tage von den Lichtgestalten des Mondes hergenommen sind. — Dafs man die Tage genau nach dem Monde rechnet, dafür ist ein Beweis der Umstand, dafs die Sonnenfinsternisse am 30ten stattfinden — alsdann tritt der Mond in Konjunktion mit der Sonne und kommt mit 14

τέταρτον P¹, *ἐπὶ δ'* V¹V²V. ‖ 18. *διχάσι* codd. ed. pr. ‖ 19. *ἀεὶ δὲ* codd. ‖ 20. *εἰρειοποσταίη* V¹P¹V², *εἴρειοποσταίη* (sic) V, *εἴρῃ ὁπ.* edd. ‖ 26. *καὶ* om. V¹P¹V². | *γίνεται* om. V¹P¹.

νης ἐκλείψεις νυκτὶ τῇ φερούσῃ εἰς τὴν διχομηνίαν· τότε γὰρ κατὰ διάμετρον γίνεται ἡ σελήνη τῷ ἡλίῳ καὶ ἐμπίπτει εἰς τὸ τῆς γῆς σκίασμα.

15 *Ὅταν οὖν καὶ οἱ ἐνιαυτοὶ ἀκριβῶς ἄγωνται καθ' ἥλιον καὶ οἱ μῆνες καὶ αἱ ἡμέραι κατὰ σελήνην, τότε* 5 *νομίζουσιν οἱ Ἕλληνες κατὰ τὰ πάτρια θύειν, τοῦτο δέ ἐστι κατὰ τοὺς αὐτοὺς καιροὺς τοῦ ἐνιαυτοῦ τὰς αὐτὰς θυσίας τοῖς θεοῖς συντελεῖσθαι.*

16 *Οἱ μὲν γὰρ Αἰγύπτιοι τὴν ἐναντίαν διάληψιν καὶ πρόθεσιν ἐσχήκασι τοῖς Ἕλλησιν. οὔτε γὰρ τοὺς ἐνιαυ-* C *τοὺς ἄγουσι καθ' ἥλιον, οὔτε τοὺς μῆνας καὶ τὰς ἡμέ-* 11 *ρας κατὰ σελήνην, ἀλλ' ἰδίᾳ τινὶ ὑποστάσει κεχρημένοι* 17 *εἰσί. βούλονται γὰρ τὰς θυσίας τοῖς θεοῖς μὴ κατὰ τὸν αὐτὸν καιρὸν τοῦ ἐνιαυτοῦ γίνεσθαι, ἀλλὰ διὰ πασῶν τῶν τοῦ ἐνιαυτοῦ ὡρῶν διελθεῖν καὶ γίνεσθαι* 15 *τὴν θερινὴν ἑορτὴν καὶ χειμερινὴν καὶ ⟨τὴν⟩ φθινο-* 18 *πωρινὴν καὶ ἐαρινήν. ἄγουσι γὰρ τὸν ἐνιαυτὸν ἡμε-* 43 *ρῶν τξε΄· ιβ΄ γὰρ μῆνας ἄγουσι τριακονθημέρους καὶ* D *πέντε ἐπαγομένας· τὸ δὲ δ^ον οὐκ ἐπάγουσι διὰ τὴν προειρημένην αἰτίαν, ἵνα αὐτοῖς ἀναποδίζωνται αἱ* 20 19 *ἑορταί. ἐν γὰρ τοῖς τέσσαρσιν ἔτεσι μιᾷ ἡμέρᾳ ὑστε-ροῦσι παρὰ τὸν ἥλιον, ἐν δὲ τοῖς μ΄ ἔτεσι δέκα ἡμέ-ραις ὑστερήσουσι παρὰ τὸν τοῦ ἡλίου ἐνιαυτόν, ὥςτε καὶ τοσαύταις ἡμέραις ἀναποδίσουσιν αἱ ἑορταὶ πρὸς τὸ ⟨μὴ⟩ γίνεσθαι κατὰ τὰς αὐτὰς ὥρας τοῦ ἐνιαυτοῦ.* 25 *ἐν δὲ τοῖς ρκ΄ ἔτεσι μηνιαῖον ἔσται τὸ παράλλαγμα* E *καὶ πρὸς τὸν τοῦ ἡλίου ἐνιαυτὸν καὶ πρὸς τὰς κατὰ τὸ ἔτος ὥρας.*

---

7. *δ' ἔστι* edd. (*ἐστὶ* Mi.) ‖ 9. *Οἱ μὲν οὖν* scribendum esse videtur: *egipcii vero sunt contrarii grecis in hoc* Lat. ‖ 11. In verba *οὔτε τοὺς μῆνας* desinit P¹. ‖ 12. *κατὰ τὴν σελ.* edd. ‖

ihr in denselben Grad — während die Mondfinsternisse in der Nacht, die zur Monatsmitte führt, eintreten — alsdann steht der Mond mit der Sonne in Opposition und tritt in den Erdschatten.

Wenn also einerseits die Jahre genau nach der Sonne, andererseits die Monate und die Tage nach dem Monde gerechnet werden, dann glauben die Griechen „in der Väter Weise" zu opfern, d. h. es werden den Göttern dieselben Opfer zu denselben Jahreszeiten dargebracht. 15

Die Ägypter haben gerade die entgegengesetzte Auffassung und Absicht gehabt wie die Griechen. Sie rechnen nämlich weder die Jahre nach der Sonne, noch die Monate und die Tage nach dem Monde, sondern haben ein ganz eigentümliches Prinzip befolgt. Sie wollen nämlich, daſs die Opfer nicht zu derselben Zeit des Jahres dargebracht werden, sondern alle Jahreszeiten durchlaufen, d. h. das Sommerfest soll auch einmal Winterfest werden, und das Herbstfest auch einmal Frühlingsfest. Sie rechnen nämlich das Jahr zu 365 Tagen; denn sie haben 12 Monate zu 30 Tagen und 5 Zusatztage. Den Vierteltag bringen sie aus dem oben mitgeteilten Grunde nicht in Rechnung, damit ihnen die Feste rückwärts schreiten. In 4 Jahren kommen sie nämlich einen Tag im Vergleich mit der Sonne zurück, in 40 Jahren aber werden sie 10 Tage im Verhältnis zum Sonnenjahre zurück sein, sodaſs auch ihre Feste um soviel Tage zurückschreiten werden, der Absicht entsprechend, daſs sie nicht in denselben Jahreszeiten stattfinden sollen. In 120 Jahren 16 17 18 19

---

17. post ἐαρινήν add. Lat.: *immo permutantur in omnibus temporibus 4 et eorum revolutiones sunt in omnibus diebus anni, in omnibus mille et quadringentis et sexaginta annis.* ‖ 18—19. καὶ πέντε ἡμέρας ἐπάγουσι edd.; *et 5 dies post 12 menses, quos nominaverunt consequentes. et non fecerunt consequi 5 dies quartam propter causam quam diximus* Lat. (D, hiat ante *quartam* L). ‖ 20. ἀναποδίζωσιν legendum esse videtur, cf. infra 24. ‖ 21. τέσσαρσιν*] τέτρασι codd., δ′ edd. ‖ 24. ἀναποδίζουσιν edd. ‖ 25. μὴ add. edd. ‖ 26. ρ̅κ̅ε̅ V[1] cod.[1] Pet. | παράγγελμα V[1]V[2] hic et infra 108, 13.

20 *Δι' ἣν αἰτίαν καὶ τὸ περιφερόμενον ἁμάρτημα παρὰ τοῖς Ἕλλησιν ἐκ πολλῶν χρόνων παραδοχῆς ἠξιωμένον μέχρι τῶν καθ' ἡμᾶς χρόνων πεπίστευται. ὑπολαμβάνουσι γὰρ οἱ πλεῖστοι τῶν Ἑλλήνων ἅμα τοῖς Ἰσίοις κατ' Αἰγυπτίους καὶ κατ' Εὔδοξον εἶναι χειμε- 5 ρινὰς τροπάς, ὅπερ ἐστὶ παντάπασι ψεῦδος· μηνὶ γὰρ ὅλῳ παραλλάσσει τὰ Ἴσια πρὸς τὰς χειμερινὰς τροπάς.* 34 A
21 *ἐρρύη δὲ τὸ ἁμάρτημα ἀπὸ τῆς προειρημένης αἰτίας. πρὸ γὰρ ρκ' ἐτῶν συνέπεσε κατ' αὐτὰς τὰς χειμερινὰς τροπὰς ἄγεσθαι τὰ Ἴσια. ἐν ἔτεσι δὲ τέσσαρσι μιᾶς* 10 *ἡμέρας ἐγένετο παράλλαγμα. τοῦτο οὖν οὐκ αἰσθητὴν ἔσχε παραλλαγὴν πρὸς τὰς κατ' ἔτος ὥρας. ἐν ἔτεσι δὲ μ' ἡμερῶν δέκα ἐγένετο παράλλαγμα. οὐδ' οὕτως*
22 *αἰσθητὴν εἶναι συμβαίνει τὴν παραλλαγήν. νυνὶ μέντοι γε μηνιαίας γινομένης παραλλαγῆς ἐν ρκ' ἔτεσιν, ὑπερ-* 15 *βολὴν οὐκ ἀπολείπουσιν ἀγνοίας οἱ διαλαμβάνοντες ἐν* B *τοῖς Ἰσίοις κατ' Αἰγυπτίους καὶ κατ' Εὔδοξον τὰς χειμερινὰς τροπὰς εἶναι. μιᾷ μὲν γὰρ ἡμέρᾳ ἢ δυσὶ διενεχθῆναι ἐνδεχόμενόν ἐστι, μηνιαῖον δὲ παράλλαγμα*
23 *ἀδύνατόν ἐστι λαθεῖν. καὶ γὰρ τὰ μεγέθη τῶν ἡμε-* 20 *ρῶν ἐλέγχειν δύναται μεγάλην ἔχοντα παραλλαγὴν πρὸς τὰς χειμερινὰς τροπάς, καὶ αἱ τῶν ὡρολογίων καταγραφαὶ ἐκδήλους ποιοῦσι τὰς κατὰ ἀλήθειαν γινομένας τροπάς, καὶ μάλιστα παρ' Αἰγυπτίοις ἐν παρατηρήσει* C
24 *γενομένοις. ὅθεν τὰ Ἴσια πρότερον μὲν ἤγετο κατὰ* 25

1—110, 8. *Δι' ἣν αἰτίαν — ἐπὶ τὸν αὐτὸν καιρὸν τοῦ ἔτους*] Totus locus abest a versione Latina; expletur lacuna his verbis: *et diversificantur quidem quod est inter egipcios et grecos in re sacrificiorum eorum et epactis annorum manifeste.* ‖ 9. *τὰ ἰσία* post *συνέπεσε* addunt, sed etiam infra retinent V¹V². ‖ 10. *τὰ ἰσία* V¹V²V. ‖ 16. *οὐ διαλείπουσιν* V ed. pr. ‖ 19. *παράλαγμα* V², *παράγγελμα* V¹. ‖ 22. *ὡρολογείων* ex . . . *ίων* corr. V². ‖

wird die Differenz mit dem Sonnenjahre, d. h. also auch mit den Jahreszeiten, einen ganzen Monat betragen.

(In diesem ganz allmählichen Anwachsen) ist auch 20 der Grund zu erblicken, weshalb ein landläufiger Irrtum, sanktioniert durch eine langjährige Tradition, bis auf unsere Zeiten bei den Griechen auf Treu und Glauben hingenommen worden ist. Die Griechen sind nämlich in überwiegender Mehrzahl der Meinung, daſs gleichzeitig mit dem Isisfeste sowohl nach der Zeitrechnung der Ägypter als auch nach (dem Kalender des) Eudoxos die Winterwende stattfinde. Das ist aber ganz falsch; denn das Isisfest differiert mit der Winterwende einen ganzen Monat.[16]) Eingeschlichen hat sich der Irrtum aus dem 21 oben angegebenen Grunde. Vor 120 Jahren traf es nämlich einmal zu, daſs das Isisfest gerade zur Winterwende gefeiert wurde; aber schon nach vier Jahren betrug der Unterschied einen Tag. Das war allerdings keine bemerkbare Differenz mit der Jahreszeit. Nach 40 Jahren betrug der Unterschied 10 Tage. Aber auch so wäre die Differenz noch nicht besonders auffallend. Allein jetzt, 22 wo nach 120 Jahren der Unterschied einen ganzen Monat beträgt, läſst die Annahme, daſs am Isisfeste sowohl nach der Zeitrechnung der Ägypter als auch nach (dem Kalender des) Eudoxos die Winterwende stattfinde, an Ignoranz nichts zu wünschen übrig. Eine Differenz von einem Tage oder höchstens zwei Tagen läſst man sich ja gefallen, aber ein Unterschied von einem Monate kann unmöglich unbemerkt bleiben. Kann doch schon die Länge 23 der Tage als Anhalt dienen, die, mit der Zeit der Winterwende verglichen, einen groſsen Unterschied zeigt; auch die Stundenblätter der Sonnenuhren machen den in Wahrheit stattfindenden Eintritt der Wenden deutlich bemerkbar, zumal bei den Ägyptern, die so gute Beobachter gewesen sind. So fiel demnach das Isisfest früher einmal 24

---

23. *κατ' ἀλήϑ.* edd. ‖ 25. *ἰσία* BV, sine acc. V^1V^2. | *ἤγετο*] *ἐγένετο* V cod.[2] Pet. ed. pr. | *κατὰ*] *καὶ* V^1B (sed *κατὰ* suprascr.) V^2.

τὰς χειμερινὰς τροπάς, καὶ πρότερον δ' ἔτι κατὰ τὰς
θερινὰς τροπάς, ὡς καὶ Ἐρατοσθένης ἐν τῷ περὶ τῆς
ὀκταετηρίδος ὑπομνήματι μνημονεύει, καὶ ἀχθήσεται
[πάλιν] κατὰ φθινόπωρον καὶ κατὰ τὰς θερινὰς τροπὰς
καὶ κατὰ τὸ ἔαρ καὶ ⟨πάλιν⟩ κατὰ τὰς χειμερινὰς 5
44 τροπάς. ἐν ἔτεσι γὰρ ,αυξ' ἅπασαν ἑορτὴν διελθεῖν
δεῖ διὰ πασῶν τῶν τοῦ ἐνιαυτοῦ ὡρῶν καὶ πάλιν ἀπο- D
κατασταθῆναι ἐπὶ τὸν αὐτὸν καιρὸν τοῦ ἔτους.

25 Οἱ μὲν οὖν Αἰγύπτιοι κατὰ τὴν ἰδίαν ὑπόστασιν
κεκρατήκασι τοῦ προκειμένου τέλους, οἱ δὲ Ἕλληνες 10
τὴν ἐναντίαν γνώμην ἔχοντες τοὺς μὲν ἐνιαυτοὺς καθ'
ἥλιον ἄγουσι, τοὺς δὲ μῆνας καὶ τὰς ἡμέρας κατὰ
26 σελήνην. οἱ μὲν οὖν ἀρχαῖοι τοὺς μῆνας τριακονθη-
μέρους ἦγον, τοὺς δὲ ἐμβολίμους παρ' ἐνιαυτόν. τα-
χέως δ' ἐπὶ τοῦ φαινομένου ἐλεγχομένης τῆς ἀληθείας 15
διὰ τὸ τὰς ἡμέρας καὶ τοὺς μῆνας μὴ συμφωνεῖν τῇ E
σελήνῃ, τοὺς δὲ ἐνιαυτοὺς μὴ στοιχεῖν τῷ ἡλίῳ, [ὅθεν]
ἐζήτουν περίοδον, ἥτις κατὰ μὲν τοὺς ἐνιαυτοὺς τῷ
ἡλίῳ συμφωνήσει, κατὰ δὲ τοὺς μῆνας καὶ τὰς ἡμέρας
τῇ σελήνῃ, περιέχει δὲ [ὁ τῆς περιόδου χρόνος] ὅλους 20
27 μῆνας καὶ ὅλας ἡμέρας καὶ ὅλους ἐνιαυτούς. πρώτην
δὲ συνεστήσαντο τὴν περίοδον τῆς ὀκταετηρίδος, ἥτις
περιέχει μὲν μῆνας ϙθ', ἐν οἷς ἐμβολίμους τρεῖς, ἡμέρας
δὲ ,βϡκβ', ἔτη δὲ ὀκτώ. συνεστήσαντο δὲ τὴν ὀκτα- 35 A
28 ετηρίδα τὸν τρόπον τοῦτον. ἐπεὶ γὰρ ὁ καθ' ἥλιον 25
ἐνιαυτὸς ἡμερῶν ἐστι τξε' δ^ον, ὁ δὲ κατὰ σελήνην ἐνιαυ-
τός ἐστιν ἡμερῶν τνδ', ἔλαβον τὴν ὑπεροχήν, ἣν ὑπερ-
έχει ὁ καθ' ἥλιον ἐνιαυτὸς τοῦ κατὰ σελήνην. εἰσὶ

---

1. χειμ. τροπικὰς V¹V². | τὰς V¹: om. cett. ‖ 4. πάλιν transponendum esse censeo. ‖ 10. κεκρατήκασι V²: om. cett.; *et egipcii firmi permanent semper super suos annos et retinentur*

auf die Winterwende, und noch früher auf die Sommerwende — wie auch Eratosthenes in seiner Abhandlung über die achtjährige Periode erwähnt — und wird in Zukunft im Herbst, zur Sommerwende, im Frühling und dann wieder zur Winterwende gefeiert werden. Denn in 1460 Jahren[17]) mufs jedes Fest alle Jahreszeiten durchlaufen und wieder zu demselben Zeitpunkt des Jahres zurückkehren.

Die Ägypter haben also nach diesem eigentümlichen 25 Prinzip die Lösung der uns jetzt beschäftigenden Aufgabe in Angriff genommen, während die Griechen im Verfolg der entgegengesetzten Ansicht die Jahre nach der Sonne rechnen, die Monate und die Tage aber nach dem Monde. — Was zunächst die Alten anbelangt, so hatten 26 dieselben Monate zu 30 Tagen und setzten die Schaltmonate ein Jahr um das andere zu. Weil aber angesichts der Himmelserscheinung die Richtigkeit des Verfahrens alsbald in Frage gestellt wurde, insofern die Tage und die Monate nicht mit dem Monde in Übereinstimmung blieben und die Jahre nicht mit der Sonne fortschritten, so suchten sie eine Periode, welche hinsichtlich der Jahre mit der Sonne, hinsichtlich der Monate und der Tage mit dem Monde in Einklang bleiben sollte und dabei ganze Monate, ganze Tage und ganze Jahre enthalten mufste. Die erste Periode, welche sie aufstellten, war 27 die achtjährige; sie umfafst 99 Monate, mit Einschlufs von drei Schaltmonaten, oder 2922 Tage, d. s. acht Jahre. Zur Aufstellung dieser Periode gelangten sie auf folgende Weise. Da das Sonnenjahr $365\frac{1}{4}$ Tage, das Mondjahr 28 aber nur 354 Tage hat, so nahmen sie den Überschufs

---

cum eis Lat. | *προειρημένον* V¹. ‖ 15. *δ' ἐπὶ* V¹: *δ' ὑπὸ* V²V, *δὲ ὑπὸ* edd. ‖ 17. *δ' ἐνιαυτοὺς* V¹ edd. | *στιχεῖν* V¹. | *ὅθεν* delendum esse censeo, *ἐντεῦθεν* coni. *Pet.; et quia inveniebant illud diversum veritati . . ., quesiverunt aliquid, quo* Lat. ‖ 20. *περιέξει* scrib. esse videtur. ‖ 21. *πρῶτον* edd. ‖ 23. *ἐμβολίμους*] *ἐμβολισμοὶ* ed. pr., *ἐμβολιμοὶ* Ur. H. Mi. ‖ 27. *ὑπεροχήν*] *ὑπερβολήν* edd.

29 δὲ ἡμέραι ια′ $δ^{ον}$. ἐὰν ἄρα κατὰ σελήνην ἄγωμεν τοὺς
μῆνας ἐν τῷ ἐνιαυτῷ, ὑστερήσομεν ἡμέρας παρὰ τὸν
τοῦ ἡλίου ἐνιαυτὸν ια′ $δ^{ον}$. ἐζήτησαν οὖν, ποσάκις
αὗται αἱ ἡμέραι πολυπλασιασθεῖσαι ἀποτελοῦσιν ὅλας
ἡμέρας καὶ ὅλους μῆνας. ὀκτάκις δὲ πολυπλασιασθεῖ- B
σαι ἀποτελοῦσιν [ὅλας ἡμέρας καὶ ὅλους μῆνας, ἤγουν] 6
30 ἡμέρας μὲν ϙ′, μῆνας δὲ τρεῖς. ἐπεὶ οὖν ἐν τῷ ἐνι-
αυτῷ παρὰ τὸν ἥλιον ὑστεροῦμεν ἡμέρας ια′ $δ^{ον}$, φα-
νερὸν ὅτι ἐν τοῖς ὀκτὼ ἔτεσιν ὑστερήσομεν παρὰ τὸν
31 ἥλιον ἡμέρας ϙ′, ὅπερ εἰσὶ μῆνες τρεῖς. δι᾽ ἣν αἰτίαν 10
καθ᾽ ἑκάστην ὀκταετηρίδα τρεῖς ἄγονται μῆνες ἐμβό-
λιμοι, ἵνα τὸ καθ᾽ ἕκαστον ἐνιαυτὸν γινόμενον ἔλλειμμα
πρὸς τὸν ἥλιον ἀναπληρωθῇ καὶ πάλιν ἐξ ἀρχῆς δι-
45 ελθόντων τῶν ὀκτὼ ἐτῶν συμφωνῶσιν ⟨αἱ ἑορταὶ⟩ C
πρὸς τὰς κατ᾽ ἔτος ὥρας. γινομένου γὰρ τούτου αἱ 15
θυσίαι τοῖς θεοῖς διὰ παντὸς ἐπιτελεσθήσονται κατὰ
τὰς αὐτὰς ὥρας τοῦ ἐνιαυτοῦ.

32 Ἤδη μέντοι γε τοὺς ἐμβολίμους διέταξαν, ὡς ἦν
ἐνδεχόμενον μάλιστα δι᾽ ἴσου. οὔτε γὰρ περιμένειν
δεῖ, ἕως οὗ μηνιαῖον γένηται παράλλαγμα πρὸς τὸ 20
φαινόμενον, οὔτε προλαμβάνειν παρὰ τὸν ἡλιακὸν δρό-
33 μον μῆνα ὅλον. δι᾽ ἣν αἰτίαν τοὺς ἐμβολίμους μῆνας
ἔταξαν ἄγεσθαι ἐν τῷ τρίτῳ ἔτει καὶ πέμπτῳ καὶ ὀγδόῳ, D
δύο μὲν μῆνας μεταξὺ δύο ἐτῶν πιπτόντων, ἕνα δὲ
μεταξὺ ἐνιαυτοῦ ἑνὸς ἀγομένου. οὐδὲν δὲ διαφέρει, 25
ἐὰν καὶ ἐν ἄλλοις ἔτεσι τὴν αὐτὴν διάταξιν τῶν ἐμ-
βολίμων μηνῶν ποιήσηταί τις.

34 [Ἄγεται δὲ ὁ κατὰ σελήνην ἐνιαυτὸς ἡμερῶν τνδ′.

---

4. αὐταὶ αἱ edd.; *isti dies* Lat. ‖ 5. δὲ] οὖν V edd. ‖ 6. ὅλας ἡμ. καὶ ὅλους μῆνας om. V². | ἤγουν V¹ ($η^{ου}$): ἕως corr. ex ἤως B, om. cett. ‖ 10. αἳ εἰσι V¹, αἵπερ εἰσὶ edd. ‖ 14. αἱ ἑορταὶ

des Sonnenjahres über das Mondjahr. Derselbe beträgt $11\frac{1}{4}$ Tage. Wenn wir also die Monate im Jahre nach dem Monde rechnen, so werden wir im Verhältnis zum Sonnenjahre $11\frac{1}{4}$ Tage zurückbleiben. Nun suchten sie die Zahl, mit welcher man diese Anzahl von Tagen multiplizieren mufs, um ganze Tage und ganze Monate zu erhalten. Dieses Ergebnis erhält man durch Multiplikation mit acht: es sind 90 Tage oder drei Monate. Da wir also in einem Sonnenjahre $11\frac{1}{4}$ Tage zurückbleiben, so ist es klar, dafs wir in acht Jahren im Vergleich zur Sonne 90 Tage, das sind drei Monate, zurücksein werden. Aus diesem Grunde werden in jeder achtjährigen Periode drei Schaltmonate eingeschoben, damit der jährlich eintretende Ausfall gegen die Sonne ausgeglichen werde, und somit wieder von vorn, nach Ablauf der acht Jahre, die Feste in dieselben Jahreszeiten fallen. Wenn dies nämlich geschieht, werden die Opfer den Göttern stets zu denselben Jahreszeiten dargebracht werden. 29 30 31

Nun mufste man jedoch die Schaltmonate so gleichmäfsig, als es nur irgend möglich war, einfügen. Man darf nämlich weder warten, bis der Unterschied mit der Himmelserscheinung einen Monat beträgt, noch darf man einen vollen Monat im Vergleich zum Lauf der Sonne vorausnehmen. Aus diesem Grunde traf man die Anordnung, dafs die Schaltmonate im dritten, fünften und achten Jahre eingeschoben werden sollten, also zwei Monate mit je zweijähriger, einer mit nur einjähriger Zwischenzeit. Es macht aber nichts aus, wenn man die entsprechende Anordnung der Schaltmonate auch in anderen Jahren treffen wollte. 32 33

[Das Mondjahr hat 354 Tage. Aus diesem Grunde 34

---

add. edd. ‖ 15. *πρὸς τὰς κατ᾽ ἔτος ὥρας**] *πρὸς τὰς κατὰ τὰς ὥρας* V¹V², *πρὸς τὰς αὐτὰς ὥρας* V edd., cf. ind. gr. s. v. *ὥρα*. | *γιγνομένου* V¹V². | *γὰρ*] *δὲ* Ur. H Mi. ‖ 18. *διέταξαν* V²: *διατάξαντες* cett.; *posuerunt ergo illud quod intercalaverunt* Lat. 24. *δὲ* om. ed. pr. ‖ 25. *ἐνιαυτοῦ ἑνὸς* V²: *ἑνὸς ἐν.* cett. | *οὐθὲν* V².

δι' αἰτίαν δὲ τοιάνδε ὑπέλαβον εἶναι τὸν κατὰ σελήνην μῆνα ἡμερῶν κθ' ϛ'', τὴν δὲ δίμηνον ἡμερῶν νθ'. ὅθεν κοῖλον καὶ πλήρη μῆνα παρὰ μῆνα ἄγουσιν, ὅτι 35 *ἡ δίμηνος ἡ κατὰ σελήνην ἡμερῶν ἐστι νθ'. γίνονται* E *οὖν ἐν τῷ ἐνιαυτῷ ἓξ πλήρεις καὶ ἓξ κοῖλοι· συνά-* 5 *γονται δὲ ἡμέραι τνδ'. διὰ δὴ ταύτην τὴν αἰτίαν μῆνα παρὰ μῆνα πλήρη καὶ κοῖλον ἄγουσιν.]*

36 *Εἰ μὲν οὖν ἔδει τοῖς καθ' ἥλιον ἐνιαυτοῖς μόνον ἡμᾶς συμφωνεῖν, ἀπήρκει ἂν τῇ προειρημένῃ περιόδῳ χρωμένους συμφωνεῖν πρὸς τὰ φαινόμενα. ἐπεὶ δὲ οὐ* 10 *μόνον δεῖ τοὺς ἐνιαυτοὺς ἄγειν καθ' ἥλιον, ἀλλὰ καὶ* 36 A *τοὺς μῆνας καὶ τὰς ἡμέρας κατὰ σελήνην, ἐσκέψαντο,* 37 *πῶς ἂν καὶ τοῦτο τοῦ τέλους τυγχάνοι. ἐπεὶ τοίνυν ὁ κατὰ σελήνην μὴν ἀκριβῶς ἐστιν εἰλημμένος ἡμερῶν κθ' ϛ'' λγ^ου, εἰσὶ δὲ ἐν τῇ ὀκταετηρίδι σὺν τοῖς ἐμβο-* 15 *λίμοις μῆνες ϙθ', ἐπολυπλασίασαν τὰς τοῦ μηνὸς ἡμέρας κθ' ϛ'' λγ^ον ἐπὶ τοὺς ϙθ' μῆνας· γίνονται οὖν ἡμέραι ͵βϡκγ' ϛ''. ἐν ἄρα τοῖς ὀκτὼ ἔτεσι τοῖς καθ' ἥλιον δεῖ ἄγεσθαι ἡμέρας κατὰ σελήνην ͵βϡκγ' ϛ''.* 38 *ἀλλ' [ἐπεὶ] ὁ καθ' ἥλιον ἐνιαυτός ἐστιν ἡμερῶν τξε'* 20 *δ^ου, τὰ δὲ ὀκτὼ ἔτη καθ' ἥλιον περιέχει ἡμέρας ͵βϡκβ'·* B *ὀκταπλασιασθεῖσαι γὰρ αἱ τοῦ ἐνιαυτοῦ ἡμέραι τοσοῦτον ἀποτελοῦσι πλῆθος. ἐπεὶ οὖν αἱ κατὰ σελήνην* 46 *ἡμέραι ἦσαν ἐν τοῖς ὀκτὼ ἔτεσι ͵βϡκγ' ϛ'', ὑστερήσομεν καθ' ἑκάστην ὀκταετηρίδα παρὰ τὴν σελήνην* 25 39 *ἡμέρᾳ μιᾷ καὶ ἡμίσει. ἐν ἄρα τοῖς ιϛ' ἔτεσιν ὑστερήσομεν παρὰ τὴν σελήνην ἡμέρας τρεῖς. δι' ἣν αἰτίαν*

---

1. *δι' αἰτίαν δὲ τοιάνδε* V ed. pr., vix recte, sed retinui lectionem, quod totum locum spurium esse censeo: *δι' ἣν αἰτίαν τοιάνδε* V[1], *δι' ἣν αἰτίαν δὲ τοιάνδε* V[2], *δι' ἣν αἰτίαν* Ur. H. Mi. ‖ 2. *τὸν δὲ δίμηνον χρόνον* edd. ‖ 3. *παρὰ μῆνα**]

nahm man den Monat nach dem Monde zu $29^1/_2$ Tagen, den Doppelmonat zu 59 Tagen an. Deshalb macht man einen Monat um den andern voll und hohl, weil der Doppelmonat nach dem Monde 59 Tage hat. Es giebt 35 also im Jahre sechs volle und sechs hohle (Monate); die Summe der Tage beträgt 354 Tage. Aus diesem Grunde macht man also einen Monat um den andern voll und hohl.]

Müfsten wir nun lediglich mit den Sonnenjahren in 36 Übereinstimmung bleiben, so würden wir bei Anwendung der eben geschilderten Periode mit der Himmelserscheinung in genügendem Einklange bleiben. Da man aber nicht nur die Jahre nach der Sonne, sondern auch die Monate und die Tage nach dem Monde rechnen mufs, so suchte man nach einem Verfahren, durch welches man auch dieser Anforderung gerecht werden könnte. Da also der Mond- 37 monat genau genommen $29\frac{1}{2} + \frac{1}{33}$ Tage beträgt, in der achtjährigen Periode aber mit Einschlufs der Schaltmonate 99 Monate enthalten sind, so multiplizierte man die Summe der Monatstage $29\frac{1}{2} + \frac{1}{33}$ mit 99, der Zahl der Monate: man erhält $2923^1/_2$ Tage; das heifst, man mufs in acht Sonnenjahren $2923^1/_2$ Tage nach dem Monde rechnen. Nun hat aber das Sonnenjahr $365^1/_4$ Tage; 38 acht Jahre nach der Sonne umfassen also 2922 Tage, ein Ergebnis, welches man erhält, wenn man die Tage des Jahres mit acht multipliziert. Da nun die Tage nach dem Monde in acht Jahren $2923^1/_2$ betrugen, so werden wir in jeder achtjährigen Periode im Verhältnis zum Monde $1^1/_2$ Tag zurückbleiben. Folglich werden wir 39 in 16 Jahren drei Tage im Verhältnis zum Monde zurück-

---

παρὰ μέρος vulg., cf. infra 7. ‖ 4. Ϊ V[1], *γίνεται* V[2]. ‖ 6. *δὴ*] *δὲ* edd. ‖ 13. *τυγχάνοι**] *τυγχάνῃ* vulg., at fortasse *τούτου τοῦ τέλους τυγχάνοιεν* scribendum est. ‖ 14. *εἰλημμένος ἐστὶν* edd. ‖ 18—19. *ἐν ἄρα* — *͵βϡ κγ´ 𐅵″* om. V ed. pr. ‖ 19. *κατὰ σελήνην ἡμέρας* Ur. H. Mi. ‖ 22—24. *ὀκταπλασ.* — *͵βϡ κγ´ 𐅵″* om. V[1]. ‖ 22. *τοῦ ἐν. αἱ ἡμέραι* V[2]. ‖ 24. *͵βϡκβ* V[2]. ‖ 26. *καὶ* ante *ἡμέρᾳ* add. V edd. | *μιᾷ καὶ ἡμίσει*] *α´ 𐅵″* V[1].

καθ' ἑκάστην ἑκκαιδεκαετηρίδα πρὸς τὸν τῆς σελήνης δρόμον τρεῖς ἐπάγονται ἡμέραι, ἵνα κατὰ μὲν ἥλιον τοὺς ἐνιαυτοὺς ἄγωμεν, κατὰ δὲ σελήνην τοὺς μῆνας C καὶ τὰς ἡμέρας.

40 Γινομένης δὲ τῆς τοιαύτης διορθώσεως ἕτερον 5 ἁμάρτημα ἐπακολουθεῖ. αἱ γὰρ κατὰ σελήνην ἡμέραι ἐπαγόμεναι τρεῖς ἐν τοῖς ιϛ' ἔτεσι πλεονάζουσι πρὸς τὸν ἥλιον ἐν ταῖς δέκα ἑκκαιδεκαετηρίσι λ' ἡμέρας 41 [πρὸς τὰς τοῦ ἡλίου ὥρας], ὅπερ ἐστὶ μήν. δι' ἣν αἰτίαν δι' ἐτῶν ρξ' εἷς μὴν τῶν ἐμβολίμων ἐκ ⟨μιᾶς⟩ 10 τῶν ὀκταετηρίδων ὑφαιρεῖται. ἀντὶ γὰρ τῶν τριῶν μηνῶν τῶν ὀφειλόντων ἐν τοῖς ὀκτὼ ἔτεσιν ἄγεσθαι, δύο μόνον ἐμβάλλονται. ὥστε πάλιν ἐξ ἀρχῆς τοῦ μηνὸς D ὑπεξαιρεθέντος κατὰ μὲν τοὺς μῆνας καὶ τὰς ἡμέρας τῇ σελήνῃ συμφωνεῖν, κατὰ δὲ τοὺς ἐνιαυτοὺς τῷ ἡλίῳ. 15

42 Τοιαύτης δὲ γινομένης τῆς διορθώσεως οὐδ' οὕτως συμβαίνει συμφωνεῖν πρὸς τὸ φαινόμενον. ὅλην γὰρ τὴν ὀκταετηρίδα διημαρτῆσθαι συμβέβηκε καὶ κατὰ τοὺς μῆνας καὶ κατὰ τὰς ἡμέρας καὶ κατὰ τοὺς ἐμβολίμους. 43 [ὁ γὰρ μηνιαῖος χρόνος οὐκ ἀκριβῶς εἴληπται. ἔστι 20 γὰρ ὁ μηνιαῖος χρόνος ἀκριβῶς λαμβανόμενος ἡμερῶν E κθ καὶ πρώτων ἑξηκοστῶν λα' καὶ δευτέρων ν'' καὶ τρίτων η''' καὶ τετάρτων κ''''. διὰ δὲ τοῦτο δεήσει ποτὲ ἐν τοῖς ιϛ' ἔτεσιν ἀντὶ τριῶν ἐμβολίμων ἡμερῶν 44 δ' ἐπάγεσθαι. ὅθεν οὐ δεῖ ἐν οὐδεμιᾷ περιόδῳ ἴσους 25 τοὺς κοίλους τοῖς πλήρεσιν ἄγειν, ἀλλὰ πλεονάζειν τοὺς πλήρεις τῶν κοίλων. εἰ μὲν γὰρ ὁ μηνιαῖος

---

1. ϛ' καὶ ι' ετηρίδα V², ἑξκαιδεκαετ. V ed. pr. Ur. Mi. ‖ 5. Γενομένης edd. ‖ 6. κατὰ σελήνην*] κατὰ τὴν σελ. vulg., cf. ind. gr. s. v. σελήνη. ‖ 8. δέκα ἑκκαιδεκαετηρίσι*] ϛ̄ καὶ ῑ ετηρίσι V², ιϛ' δεκαετηρίσι V¹V (δεκ in loco raso) edd. ‖ 9. πρὸς —

bleiben. Aus diesem Grunde werden in jeder 16jährigen Periode mit Rücksicht auf den Lauf des Mondes drei Tage hinzugesetzt, damit wir die Jahre nach der Sonne, die Monate und die Tage aber nach dem Monde rechnen.

40 Läſst man diese Berichtigung eintreten, so hat sie wieder einen anderen Fehler im Gefolge. Nämlich die mit Rücksicht auf den Mond in den 16 Jahren hinzugesetzten drei Tage verursachen in 160 Jahren ein Voraussein im Verhältnis zur Sonne von 30 Tagen oder einem Monat. 41 Aus diesem Grunde wird aller 160 Jahre ein Schaltmonat aus einer der achtjährigen Perioden herausgenommen, d. h. anstatt der drei Monate, welche in den betreffenden acht Jahren eingeschaltet werden sollten, werden nur zwei eingeschoben. So ist dann wieder von vorn nach Auslassung dieses Monats hinsichtlich der Monate und der Tage mit dem Monde und hinsichtlich der Jahre mit der Sonne Übereinstimmung vorhanden.

42 Läſst man diese Verbesserung eintreten, so wird trotzdem noch keine Übereinstimmung mit der Himmelserscheinung erzielt. Denn die ganze achtjährige Periode stellt sich als durchaus fehlerhaft heraus hinsichtlich der Monate, der Tage und der Schaltmonate. 43 [Die Monatszeit ist nämlich nicht genau genommen.[18]) Die Monatszeit beträgt genau genommen 29^{t} 31^{m} 50^{s} 8^{t} 20^{q}. Deshalb wird man schlieſslich einmal in 16 Jahren anstatt dreier Schalttage vier zusetzen müssen. 44 Daher darf man in keiner Periode die gleiche Anzahl hohle wie volle Monate annehmen, es muſs vielmehr die Zahl der vollen die der hohlen überwiegen. Wenn nämlich die Monatszeit

---

ὥρας glossema esse apparet: om. Lat. (sed etiam ὅπερ ἐστὶ μήν.) ‖ 14. ὑφεξαιρεϑ. V², ὑπεξευρεϑ. V. ‖ 15. τῆς σελήνης V¹V². ‖ 16. γιγνομένης V²V. | τῆς V¹: om. cett. ‖ 20—118, 5. De hac interpolatione vide notam germ. 18. ‖ 22—23. κϑ′ — τετάρτων κ′′′′ V¹ cod.¹ Pet. Mi.: κϑ′ καὶ πρώτων ἑξηκοστῶν λα′ καὶ δευτέρων μ′ καὶ τρίτων ν′ καὶ τετάρτων κδ′ V²V ed. pr. Ur. H.; *mensis subtiliter perscrutatus est 29 dies [et medius] et 31 minutum et 50 secunda et 8 tertia et 20 quarta* Lat. ‖ 23. δὲ om. V¹. ‖ 24. τριῶν*] τῶν vulg.; *loco dierum epactarum* Lat.

χρόνος μόνον ἦν ἡμερῶν κθ´ ϛ´´, ἴσους ἔδει τοὺς πλή-
45 ρεις καὶ τοὺς κοίλους μῆνας ἄγεσθαι. νυνὶ δέ ἐστι
μόριον αἰσθητὸν ἐν τῷ μηνιαίῳ χρόνῳ, ὃ συμπληροῖ 37 A
ἡμερήσιον μέγεθος. δι᾽ ἣν αἰτίαν δεήσει πλεονάζειν
46 τοὺς πλήρεις τῶν κοίλων μηνῶν.] οὐδὲ μὴν ἐν τοῖς 5
47 ὀκτὼ ἔτεσι τρεῖς [οὖν] ἔνεισι μῆνες ἐμβόλιμοι. εἰ μὲν
γὰρ ἦν ὁ ἐνιαυτὸς ὁ κατὰ σελήνην ἡμερῶν τνδ´, ἦν
ἂν ἡ ὑπεροχὴ τοῦ ἡλιακοῦ ἐνιαυτοῦ ἡμερῶν ια´ δ^ου^.
αὗται δὲ ὀκτάκις πολυπλασιασθεῖσαι συνεπλήρουν ἂν
47 τοὺς τρεῖς μῆνας τοὺς ἐμβολίμους. νυνὶ δὲ ὁ κατὰ 10
σελήνην ἐνιαυτὸς ἀκριβῶς ἐστι ⟨ν εἰλημμένος ἡμερῶν⟩
τνδ´ ὡς ἔγγιστα γ^ου^. ἐὰν οὖν ἀφέλωμεν τὰ τνδ´ γ^ον^
ἀπὸ τῶν τξε´ δ^ου^, καταλειφθήσονται ἡμέραι ι´ ϛ´´ γ^ον^ ιβ^ον^· B
αὗται δὲ ὀκταπλασιασθεῖσαι ἀποτελοῦσιν ἡμέρας πζ´
ὡς ἔγγιστα γ^ον^. αὗται δὲ αἱ ἡμέραι οὐ συμπληροῦσι 15
τρεῖς μῆνας. δι᾽ ἣν αἰτίαν οὐ δεῖ ἄγειν ἐν τοῖς ὀκτὼ
48 ἔτεσι τρεῖς μῆνας ἐμβολίμους. τοῦτο δὲ καὶ διὰ τῆς
ἐννεακαιδεκαετηρίδος φανερὸν γίνεται. ἐν γὰρ τοῖς
ιθ´ ἔτεσιν ἑπτὰ μῆνες ἐμβόλιμοι ἄγονται, καὶ ἐκ πλει-
όνων χρόνων συμφωνήσει ἡ ἐννεακαιδεκαετηρὶς κατὰ 20
τὴν τῶν μηνῶν ἀγωγήν. ἐν ἄρα τοῖς ὀκτὼ ἐννεακαι-
δεκαετηρίσιν ἐμβόλιμοι μῆνες ἀχθήσονται νϛ´. ἐν δὲ C
τῇ ὀκταετηρίδι μῆνες ἐμβόλιμοι ἄγονται τρεῖς· ἐν ἄρα
ταῖς ιθ´ ὀκταετηρίσιν, ὅπερ ἐστὶν ἔτη ρνβ´, ἐμβόλιμοι
49 ἄγονται νζ´. ἐν δὲ τῷ αὐτῷ χρόνῳ κατὰ τὴν ἐννεακαι- 25
δεκαετηρίδα τὴν συμφωνοῦσαν τοῖς φαινομένοις ἐμ-
βόλιμοι μῆνες ἄγονται νϛ´. ὥςτε πλεονάζειν τὴν ὀκτα-

---

1. *χρόνος μόνον*] *μόνον χρόνος* codd. ‖ 2. *δ᾽ ἔστι* codd. ‖ 5. *γὰρ* pro *μὴν* scribendum esse videtur. ‖ 9. *αὐταὶ* Ur. H. (recte Mi.) | *πολλαπλασ.* V²V. ‖ 11. ⟨*ν εἰλημμένος ἡμερῶν*⟩ adieci, cf. 114, 14. ‖ 13. *ι´ ϛ´´ γ´´ ιβ´´* V¹: $\overline{\kappa}\,\overset{\alpha}{I}\,\overline{\iota\beta}$ V², *ια* ////// $\overline{\iota\beta}$ V, *ι´*, *ια´*

nur $29\frac{1}{2}$ Tage betrüge, so müſste man die gleiche Zahl von vollen und hohlen Monaten annehmen. Nun 45 giebt es aber in der Monatszeit einen kleinen wahrnehmbaren Bruchteil, welcher (mit der Zeit) zur Gröſse eines Tages anwächst. Aus diesem Grunde wird man die Zahl der vollen Monate die der hohlen überwiegen lassen müssen.] Es giebt eben in acht Jahren gar nicht drei 46 Schaltmonate. Wenn nämlich das Mondjahr 354 Tage hätte, so würde der Unterschied mit dem Sonnenjahre $11\frac{1}{4}$ Tage betragen, und diese mit acht multipliziert würden allerdings drei volle Schaltmonate ausmachen. Nun hat aber das Mondjahr genau 354 und ungefähr 47 $\frac{1}{3}$ Tage. Wenn wir also $354\frac{1}{3}$ von $365\frac{1}{4}$ abziehen, so bleiben als Rest $10\frac{11}{12}$ Tage. Diese Zahl mit acht multipliziert ergiebt $87\frac{1}{3}$ Tage, also nicht drei volle Monate. Aus diesem Grunde darf man in acht Jahren nicht drei Schaltmonate zusetzen. Zu diesem Ergebnis gelangt man 48 auch mit Hilfe des 19jährigen Cyklus. In 19 Jahren werden nämlich sieben Schaltmonate eingefügt, wobei der 19jährige Cyklus auf längere Zeit hinsichtlich der Führung der Monate in Übereinstimmung bleiben wird. In acht 19jährigen Cyklen wird es also 56 Schaltmonate geben. In der achtjährigen Periode giebt es drei Schaltmonate, in 19 achtjährigen Perioden, d. i. in 152 Jahren, wird es also 57 Schaltmonate geben. In derselben Zeit giebt 49 es nach dem 19jährigen Cyklus, welcher mit den Himmelserscheinungen in Übereinstimmung ist, nur 56 Schaltmonate. Also hat die achtjährige Periode (in 152 Jahren) einen Schaltmonat zu viel. Folglich hat die achtjährige

---

δωδεκάδες edd: (*ῑ καὶ ῑᾱ δωδ.* H.); *10 dies et medius et tertia et medietas sexte* Lat. ‖ 14. *ὀκτοπλ.* ed. pr. Ur. H. (recte Mi.) ‖ *πζ γ″ ἔγγιστα* V[1], *πζ* $\frac{\alpha}{\gamma}$ *ὡς ἔγγιστα* ed. pr. Ur., *πζ γ″ ὡς ἔγγιστα* H. Mi. ‖ 15. *αἵ* om. edd. ‖ 16. *ἄγειν*] *ἀγνοεῖν* edd. ‖ 17. post *ἐμβολίμους* add. *μὴ δύνασθαι εἶναι* edd. ‖ 19. *ιϑ′ ἔτεσιν*] *ἐννέα καὶ δέκα ἔτεσιν* V[1]V, *ἐννέα καὶ ῑέτεσῑ* V[2]. ‖ 21. *η̄ϑ̄ καὶ ῑ ετηρίσιν* V[2]V et sim. saepius.

ετηρίδα ἑνὶ μηνὶ ἐμβολίμῳ. οὐκ ἄρα ἡ ὀκταετηρὶς τρεῖς μῆνας ἔχει ἐμβολίμους, ἀλλὰ καὶ κατὰ τοῦτο διημάρτηται ἡ περίοδος.

50 *Διόπερ ἐπειδὴ διημαρτημένην εἶναι συνέβαινε τὴν* D *ὀκταετηρίδα κατὰ πάντα, ἑτέραν περίοδον συνεστή-* 5 *σαντο τὴν τῆς ἐννεακαιδεκαετηρίδος οἱ περὶ Εὐκτήμονα* 51 *καὶ Φίλιππον καὶ Κάλλιππον ἀστρολόγοι. παρετήρησαν γὰρ ἐν τοῖς ιθ´ ἔτεσι περιεχομένας ἡμέρας ͵ϛϡμ´, μῆνας δὲ σλε´ σὺν τοῖς ἐμβολίμοις· ἄγονται δὲ ἐν τοῖς ιθ´ ἔτεσι μῆνες ἐμβόλιμοι ἑπτά. [γίνεται οὖν ὁ ἐνι-* 10 *αυτὸς κατ᾽ αὐτοὺς ἡμερῶν τξε´ καὶ ε´ ἐννεακαιδεκά-* 52 *των.] ἐν δὲ τοῖς σλε´ μησὶ κοίλους ἔταξαν ρι´, πλήρεις δὲ ρκε´, ὥςτε μὴ ἄγεσθαι ἕνα καὶ ἕνα κοῖλον καὶ* E *πλήρη, ἀλλὰ καὶ δύο ποτὲ κατὰ τὸ ἑξῆς πλήρεις. τοῦτο γὰρ ἡ φύσις ἐπὶ τῶν φαινομένων ἐπιδέχεται πρὸς τὸν* 15 *τῆς σελήνης λόγον, ὅπερ ἐν τῇ ὀκταετηρίδι οὐκ ἐνῆν.* 53 *ἐν δὲ τοῖς σλε´ μησὶ κοίλους ἔταξαν ρι´ δι᾽ αἰτίαν τοιαύτην. ἐπεὶ μῆνες ἄγονται σλε´ ἐν τοῖς ιθ´ ἔτεσιν, ὑπε-* 48 *στήσαντο τούτους πάντας τριακονθημέρους· καὶ συνάγονται ἡμέραι ͵ζν´. [ἔδει δὲ λέγεσθαι ρι´ κοίλους. δι᾽* 38A *ἣν αἰτίαν τῇ ἐννεακαιδεκαετηρίδι ἡμέραι γίνονται* 21 54 *κατὰ σελήνην ͵ϛϡμ´.] πλεονάζουσιν οὖν τριακονθημέρων ἀγομένων πάντων τῶν μηνῶν αἱ ͵ζν´ ἡμέραι τῶν ͵ϛϡμ´ ἡμερῶν· ⟨καὶ⟩ γίνονται ⟨ἡμέραι ρι´.⟩ ρι´ μῆνας οὖν ἄγουσι κοίλους, ἵνα ἐν τοῖς σλε´ μησὶ* 25 *συμπληρωθῶσιν αἱ τῆς ἐννεακαιδεκαετηρίδος ἡμέραι*

6—7. *οἱ περὶ — ἀστρολόγοι* om. Lat. ‖ 7. *Κάλλιππον* Mi.: *κάλλιπον* V^1V ed. pr., *κάλιππον* V^2 Ur. H. ‖ 8. *περιέχεσθαι* edd. ‖ 10—12. *γίνεται — ἐννεακαιδεκάτων* hoc loco inepte additum est. ‖ 16. *δρόμον* pro *λόγον* legendum esse videtur, cf. 116, 2. ‖ 19. *τούτους*] *τούτοις* codd. ¦ *πάντας* V^2: *ἅπαντας* cett. ‖ 20—22. interpolatione, quam statuimus, suo loco deturbata esse vi-

Periode nicht drei (volle) Schaltmonate, sondern ist auch
in dieser Beziehung durchaus fehlerhaft.

Weil es sich also herausstellte, daſs die achtjährige 50
Periode in allen Beziehungen fehlerhaft sei, so stellten
die Astronomen aus der Schule des Euktemon, Philippos und Kallippos[19]) in dem 19jährigen Cyklus eine
andere Periode auf. Sie hatten nämlich durch ihre Be- 51
obachtungen festgestellt, daſs in 19 Jahren 6940 Tage
oder 235 Monate mit Einschluſs der Schaltmonate enthalten seien; Schaltmonate giebt es in den 19 Jahren
sieben. [Es hat also das Jahr nach ihrer Rechnung
$365^5/_{19}$ Tage.] Unter den 235 Monaten setzten sie 110 52
als hohle und 125 als volle an, sodaſs nicht immer ein
voller und ein hohler mit einander abwechseln, sondern
manchmal auch zwei volle aufeinander folgen. Es empfiehlt nämlich der natürliche Verlauf der Himmelserscheinungen im Hinblick auf das Verhalten des Mondes
diese Maſsregel, welche in der achtjährigen Periode nicht
befolgt war. Unter den 235 Monaten setzten sie 110 53
als hohle aus folgendem Grunde an. Da es in 19 Jahren
235 Monate giebt, so nahmen sie diese zunächst einmal
alle zu 30 Tagen an; das giebt in Summa 7050 Tage. Es
waren aber im 19jährigen Cyklus 6940 Tage nach dem
Monde enthalten. Wenn also alle Monate zu 30 Tagen 54
angenommen werden, so ergeben die 7050 Tage gegenüber den 6940 ein Plus, und zwar beträgt dasselbe 110
Tage. Folglich nehmen sie 110 Monate als hohle an,
damit in den 235 Monaten die Summe von 6940 Tagen

---

dentur haec verba: *ἦσαν δὲ ἐν τῇ ἐννεακαιδεκαετηρίδι ἡμέραι κατὰ σελήνην ͵ϛϡμʹ*, cf. loc. sim. 114, 23; *agregantur ergo inde ex diebus 7050 dies. et propterea quod dies 19 annorum secundum revolutionem lune sunt 6940 dies, est additio super illud 110 dies. posuerunt ergo menses diminutos 110* Lat. ‖ 22. *τριακονθ' ἡμερῶν* V¹V². ‖ 23. *αἵ* om. V¹. ‖ 24. *καὶ* et *ἡμέραι ρι'* supplevi ad verba codicum: *ἡμερῶν· γίνονται ρι μῆνας συνάγουσι κοίλους* V¹V²V; ad *ἡμερῶν* ad marg. add. *ἡμέρας ρι. διὸ* V: itaque habent edd.: *ἡμερῶν ἡμέρας* (*ἡμέραις* H.) *ρι'. διὸ ρι' μῆνας συνάγουσι κοίλους.* ‖ 25. *οὖν ἄγουσι**] *συνάγουσι* vulg.

55 ,ϛϡμʹ. *ἵνα ⟨δὲ⟩ ὡς ἐνδέχεται μάλιστα δι' ἴσου ἡ τῶν ἐξαιρεσίμων ἡμερῶν γένηται πραγματεία, ἐμέρισαν τὰς ,ϛϡμʹ ἡμέρας εἰς ριʹ· γίνονται οὖν ἡμέραι ξγʹ. δι' ἡμερῶν ἄρα ξγʹ ἐξαιρέσιμον τὴν ἡμέραν ἄγειν δεῖ ἐν* B
56 *ταύτῃ τῇ περιόδῳ. οὐδὲ γίνεται ἐξαιρέσιμος ἡ τριακὰς* 5 *διὰ παντός, ἀλλ' ἡ διὰ τῶν ξγʹ ἡμερῶν πίπτουσα ἐξαιρέσιμος λέγεται.*

57 *Ἐν δὲ τῇ περιόδῳ ταύτῃ δοκοῦσιν οἱ μὲν μῆνες καλῶς εἰλῆφθαι καὶ οἱ ἐμβόλιμοι συμφώνως τοῖς φαινομένοις διατετάχθαι, ὁ δὲ ἐνιαύσιος χρόνος ⟨οὐ⟩* 10
58 *σύμφωνος εἴληπται τοῖς φαινομένοις. ὁ γὰρ ἐνιαύσιος χρόνος ἐκ πλειόνων ἐτῶν παρατετηρημένος συμπεφώνηκεν ὅτι ἐστὶν ἡμερῶν τξεʹ* $δ^{ου}$*, ὁ δὲ ἐκ τῆς ἐννεακαιδεκαετηρίδος συναγόμενος ἐνιαυτός ἐστιν ἡμερῶν* C *τξεʹ ἐννεακαιδεκάτων εʹ. πλεονάζουσι δὲ αὗται τῶν* 15
59 *τξεʹ* $δ^{ου}$ *ἡμέρας ἑβδομηκονθέκτῳ. δι' ἣν αἰτίαν οἱ περὶ Κάλλιππον γενόμενοι ἀστρολόγοι διωρθώσαντο τὸ πλεονάζον τῆς ἡμέρας καὶ συνεστήσαντο τὴν ἑκκαιεβδομηκονταετηρίδα συνεστηκυῖαν ἐκ τεσσάρων ἐννεακαιδεκαετηρίδων, αἵτινες περιέχουσι μῆνας μὲν ϡμʹ, ὧν* 20
60 *ἐμβόλιμοι κηʹ, ἡμέρας δὲ β̈,ζψνθʹ. τῇ δὲ τάξει τῶν ἐμβολίμων ὁμοίως ἐχρήσαντο. καὶ δοκεῖ μάλιστα πάντων αὕτη ἡ περίοδος τοῖς φαινομένοις συμφωνεῖν.* D

---

1. *δὲ* adieci ex corr. *Pet.*: *ἵν' ὡς* codd., *ἵνα ὡς* edd. ‖ 5. *ταύτῃ**] *αὐτῇ* vulg. | *περιόδω οὐδεῖ. γίνεται* V, omisso puncto V^1V^2. ‖ 10. *οὐ* addi voluit *Pet.*: *tempus autem anni, quod est, non apparet sensui* Lat. ‖ 13—14. *τξεʹ* $δ^{ου}$ — *ἡμερῶν* om. ed. pr. ‖ 13. *ἐννεαδεκαετ.* Ur. H. Mi. ‖ 15. *τξε̄ δ''* *ἐννεακαιδεκάτων εʹ* V^1, *τξε* $δ^{ου}$ *ἐννεακαιδεκαετῶν* V^2, *τξε* $δ^{ου}$ *ἐννεακαίδεκα ἐτῶν εʹ* V, *τξεʹ καὶ ἐννεακαιδεκάτων εʹ* H. ‖ 16. *ἑβδομηκοσθέκτῳ* V^2V ed. pr., *οϛ''* V^1; *septuagesima octava diei* Lat. ‖ 17. *κάλλιπον* B,

des 19jährigen Cyklus erfüllt werde. Damit aber bei der Ausmerzung der betreffenden Tage ein möglichst gleichmäfsiges Verfahren eingehalten werde, dividierten sie die 6940 Tage mit 110; so erhält man 63 Tage.[20]) Man mufs also immer nach Verlauf von 63 Tagen in diesem Cyklus einen Tag als den auszumerzenden bezeichnen. So wird keineswegs immer der 30te des betreffenden Monats ausgelassen, sondern allemal der auf 63 Zwischentage fallende Tag gilt als auszumerzender. 55 56

In diesem Cyklus sind dem Anscheine nach die Monate richtig genommen und die Schaltmonate mit den Himmelserscheinungen übereinstimmend angeordnet. Aber die Zeit des Jahres ist nicht mit den Himmelserscheinungen in Einklang angenommen. Wenn nämlich die Zeit des Jahres aus einer längeren Reihe von Jahren durch Beobachtung festgestellt wird, so hat sich das übereinstimmende Resultat ergeben, dafs sie $365\frac{1}{4}$ Tage beträgt, während der aus dem 19jährigen Cyklus (durch Rechnung) abgeleitete Wert $365\frac{5}{19}$ Tage beträgt. Dieser letztere Wert ist um $\frac{1}{76}$ Tag gröfser als der erstere. Aus diesem Grunde haben die Astronomen aus der Schule des Kallippos durch eine Verbesserung diesen Überschufs beseitigt und den 76jährigen Cyklus aufgestellt; derselbe besteht aus vier 19jährigen Cyklen, welche 940 Monate, mit Einschlufs von 28 Schaltmonaten, oder 27759 Tage enthalten. Die Anordnung der Schaltmonate handhabten sie ganz in der gleichen Weise. Dieser Cyklus stimmt mit den Himmelserscheinungen erfahrungsgemäfs am allerbesten überein. 57 58 59 60

κάλιππον V² ed. pr. Mi.; *secta felicis astronomi* Lat. | *ἐπιγενόμενοι* V². | *διορθ.* V¹. ‖ 18. *ἐξεβδομηκ.* V¹, *ἐξκαιεβδομηκ.* V ed. pr. Ur. Mi., *ἐξ καὶ εὐδομηκ.* V². ‖ 21. *ἡμέρας**] *ἡμερῶν* vulg. | *β̈,ζψνθ'**] *δισμυρίων ,ζψνθ'* V¹ Ur. H. Mi., *δισμυρίων ,βψν̄θ'* V² (*δὒσμ.*) V ed. pr.; *viginti septem milia et 759 dies* Lat. (D). | 23. *αὕτη ἡ**] *ἡ αὐτὴ* vulg.; *haec revolutio* Lat.

Cap. IX.

Περὶ σελήνης φωτισμῶν.

1 *Ἡ σελήνη ὑπὸ τοῦ ἡλίου φωτίζεται. ἀεὶ γὰρ τὸ λαμπρὸν πρὸς τὸν ἥλιον ἐπεστραμμένον ἔχει· καὶ ὅταν προανατέλλῃ τοῦ ἡλίου, τὸ λαμπρὸν αὐτῆς βλέπει πρὸς* 5 *ἀνατολήν, ⟨καὶ ὅταν ἐπανατέλλῃ μετὰ τὴν τοῦ ἡλίου ἀνατολήν, τὸ λαμπρὸν αὐτῆς βλέπει πρὸς τὴν δύσιν·⟩ καὶ ὅταν προδύνῃ τοῦ ἡλίου καὶ ὅταν ἐπικαταδύνῃ τῷ* 2 *ἡλίῳ, ἐπέστραπται τὸ λαμπρὸν πρὸς τὸν ἥλιον. ἐν δέ* 49 *τισι τῶν ἡμερῶν παρατετήρηται ἡ σελήνη κατὰ τὸ* 10 *σπάνιον ἐπικαταδύνουσα τῷ ἡλίῳ καὶ τὸ λαμπρὸν ἔχουσα βλέπον πρὸς τὴν δύσιν. παραλλάξασα δὲ τῇ* E *νυκτὶ τὸν ἥλιον καὶ προανατείλασα τοῦ ἡλίου τὸ λαμπρὸν ἔχουσα θεωρεῖται πρὸς ἀνατολήν. ἐξ οὗ φανερὸν ὅτι ἡ σελήνη ὑπὸ τοῦ ἡλίου φωτίζεται.* 15

3 *Παρατετήρηται δὲ καὶ τὰ τοιαῦτα. ὅταν μὲν γὰρ κατὰ χειμερινὰς τροπὰς ὑπάρχων ὁ ἥλιος ἀνατέλλῃ, τότε τὸ μεσαίτατον τοῦ πεφωτισμένου βλέπει πρὸς τὸν ἥλιον, ὥςτε τὴν τὰς κεραίας ἐπιζευγνύουσαν τῆς σελήνης εὐθεῖαν δίχα καὶ πρὸς ὀρθὰς τέμνεσθαι ὑπὸ* 39A *τῆς εὐθείας τῆς ἀγομένης ἀπὸ τοῦ κέντρου τοῦ ἡλίου* 21 4 *ἐπὶ τὴν διχοτομίαν τῆς σελήνης. ὅταν δὲ κατὰ θερινὰς τροπὰς ὑπάρχων ἀνατέλλῃ ὁ ἥλιος, πάλιν ἔστραπται τὸ μέσον τοῦ πεφωτισμένου πρὸς τὸ μέσον τοῦ ἡλίου,*

---

4. *τὸν* om. Ur. H. Mi. | *ἀπεστραμμένον* V¹V²V codd. Pet., *inclinatum ad solem* Lat. ‖ 5. *προανατέλλει* edd. | *βλέπει πρὸς ἀν.* V²: *πρὸς ἀν. βλ.* cett. (hiat B). ‖ 6—7. *καὶ ὅταν — πρὸς τὴν δύσιν* adieci, quamvis Lat. non habeat. ‖ 10. *κατὰ τὸ σπάνιον*] *et quondam consideratur luna in quibusdam diebus, et illud parum invenitur* Lat. ‖ 12. *τῇ νυκτὶ*] *ταύτῃ τῇ ἡμέρᾳ* primitus scriptum fuisse videtur, cf. notam germ. 21; *cum ergo per-*

Neuntes Kapitel.

Von den Lichtgestalten des Mondes.

Der Mond empfängt sein Licht von der Sonne. 1 Denn stets hat er den beleuchteten Teil der Sonne zugekehrt. Geht er vor der Sonne auf, so ist sein beleuchteter Teil nach Osten gerichtet, und geht er nach der Sonne auf, so ist sein beleuchteter Teil nach Westen gerichtet. Und er mag vor der Sonne oder nach der Sonne untergehen, sein beleuchteter Teil ist der Sonne zugekehrt. An manchen Tagen ist eine Beobachtung ge- 2 macht worden, welche sich nur selten darbietet, daſs nämlich der Mond nach der Sonne untergeht und seinen beleuchteten Teil nach Westen gerichtet hat. Nachdem er aber in der Nacht an der Sonne vorübergegangen und nun vor der Sonne aufgegangen ist, erblickt man seinen beleuchteten Teil nach Osten gerichtet.[21]) Hieraus ist ersichtlich, daſs der Mond sein Licht von der Sonne empfängt.

Es ist auch folgende Beobachtung gemacht worden. 3 Wenn nämlich die Sonne zur Zeit der Winterwende aufgeht, dann ist genau die Mitte des beleuchteten Teiles nach der Sonne gerichtet, sodaſs die Linie, welche die Hörner des Mondes verbindet, unter einem rechten Winkel halbiert wird von der Geraden, welche von dem Mittelpunkte der Sonne nach der den Mond halbierenden Linie gezogen wird. Wenn die Sonne ferner zur Zeit der 4 Sommerwende aufgeht, dann ist wiederum die Mitte des beleuchteten Teiles der Mitte der Sonne zugewendet, sodaſs in gleicher Weise die oben bezeichnete Linie halbiert und unter einem rechten Winkel geschnitten wird. Die-

---

transit luna in illa die solem Lat. ‖ 13. *πρὸς* ante *τὸν ἥλιον* add. cett. praeter V²; cf. 126, 13. ‖ 16. *ὅταν*] *ὅτε* V edd. ‖ 21. *τῆς ἀγομένης**] *τῶν ἀγομένων* vulg.; *lineam que egreditur ex centro solis ad medium lune* Lat. (L, om. D). ‖ 23. *ἐπέστραπται* scribendum esse videtur, cf. ind. gr. s. v. *ἐπιστρέφειν* et *στρέφειν*.

ὥςτε ὁμοίως διχοτομεῖσθαι καὶ πρὸς ὀρθὰς τέμνεσθαι
τὴν προειρημένην εὐθεῖαν. τὸ δ' αὐτὸ γίνεται καὶ
ἐπὶ τῶν δύσεων. ὥςτε καὶ διὰ τούτου τοῦ σημείου
συνάγεσθαι, ὅτι ὑπὸ τοῦ ἡλίου φωτίζεται ἡ σελήνη.

5 *Πεφωτισμένον* μέντοι γε διὰ παντὸς αὐτῆς τὸ ἴσον 5
⟨ἐστὶν⟩ ὡς ἡμισφαίριον· οὐ φαίνεται ⟨δὲ⟩ διὰ παντὸς B
αὐτῆς τὸ ἴσον πεφωτισμένον ὡς πρὸς τὴν ἡμετέραν
6 ὅρασιν διὰ τὰς πρὸς τὸν ἥλιον ἀποστάσεις. ὅταν μὲν
γὰρ ἐν τῇ τριακάδι ἐν τῇ αὐτῇ μοίρᾳ γένηται ὁ ἥλιος
καὶ ἡ σελήνη, τότε τὸ ἡμισφαίριον τὸ βλέπον ⟨μὲν⟩ 10
πρὸς τὸν ἥλιον, ἀπεστραμμένον δὲ ἀπὸ τῆς ἡμετέρας
ὄψεως, φωτίζεται· ὑποκάτω γὰρ ἡ σελήνη φέρεται τοῦ
7 ἡλίου. ὅταν δὲ παραλλάξῃ ἡ σελήνη τὸν ἥλιον περὶ
τὴν νουμηνίαν, τότε μηνοειδὴς ἡ σελήνη θεωρεῖται·
τοῦ γὰρ ἡμισφαιρίου τοῦ πεφωτισμένου μικρὸν ⟨μέρος⟩ 15
Phasen nicht gleichzeitig statt, sondern es treten hinsichtlich der Zeiten mannigfache Unterschiede ein.

V^1: *ἐλάττονα γὰρ τὰ τμήματα ἢ ὅμοια φέρονται οἱ πρὸς μεσημβρίαν ἀστέρες κείμενοι* V^2V, et sic etiam edd., praeterquam quod *ὑπὲρ γῆν* habent pro *ἢ ὅμοια*. | post *φέρεσθαι* punctis interclusum **τοῖς ἀεὶ μᾶλλον πρὸς μεσημβρίαν κειμένοις** V^1; deinde haec addit: *ἀπὸ δὲ ἑώας δύσεως μέχρις ἑσπερίας ἐπιτολῆς μείζων ὁ χρόνος γίνεται διὰ τὸ μείζονα τμήματα ὑπὲρ γῆν* (potius *ὑπὸ γῆν*) *φέρεσθαι*. ‖ 14. *ἐλάττονος* V^2V. ‖ 15. *μέχρι* V^2 hic et infra, edd. hic tantum. ‖ 15—17. *τοὶς δὲ — ἐπιτολῆς* om. V^1 codd. Pet. *(haec desunt in veteribus.)* ‖ 20. *ὑπὲρ γῆς* V^2V. *καὶ ὑπὸ γῆν* excidisse videtur: *que ex eis sunt supra terram et sub ea, quas dividit horizon* Lat. | *ἀναλαμβανομένων* V ed pr. H. ‖ 22. *κύκλον* add. edd., cf. ind. gr. s. v. *ζῳδιακός*.

Cap. XIV.

⟨Περὶ τῶν κύκλων, καθ᾽ ὧν φέρονται οἱ ἀπλανεῖς ἀστέρες.⟩

1 Τῶν ⟨δὲ⟩ ἀστέρων κινουμένων ἐγκύκλιον φορὰν ἀπ᾽ ἀνατολῆς ἐπὶ δύσιν, ὅσα μὲν [οὖν] αὐτῶν ἐπὶ τοῦ ἰσημερινοῦ κύκλου κεῖται, τὸν ἴσον δρόμον ὑπὲρ γῆν φέρεται καὶ ὑπὸ γῆν. διχοτομεῖται γὰρ ὁ ἰσημερινὸς κύκλος ὑπὸ τοῦ ὁρίζοντος.

2 Ὅσα δὲ τῶν ἄστρων πρὸς ἄρκτον κεῖται τοῦ ἰσημερινοῦ κύκλου, ταῦτα πλείονα μὲν χρόνον ὑπὲρ γῆν φέρεται, ἐλάττονα δὲ ὑπὸ γῆν. πάντων γὰρ τῶν κύκλων, καθ᾽ ὧν φέρονται οἱ ἀπλανεῖς ἀστέρες ⟨οἱ πρὸς ἄρκτον κείμενοι⟩, μείζονα μὲν τμήματα ὑπὲρ γῆν ἀπολαμβάνεται ὑπὸ τοῦ ὁρίζοντος, ἐλάττονα δὲ ὑπὸ γῆν διὰ τὸ ἔξαρμα τοῦ πόλου.

3 Ὅσα δὲ τῶν ἄστρων πρὸς μεσημβρίαν κεῖται τοῦ ἰσημερινοῦ κύκλου, ἐλάττονα μὲν φορὰν ὑπὲρ γῆν φέρεται, πλείονα δὲ ὑπὸ γῆν. ἀνάπαλιν γὰρ τῶν κύκλων, καθ᾽ ὧν φέρονται οἱ ἀπλανεῖς ἀστέρες οἱ πρὸς μεσημβρίαν κείμενοι, ἐλάττονα μὲν τμήματα ὑπὲρ γῆν ἔχουσι, μείζονα δὲ ὑπὸ γῆν.

4 Τοιαύτης δὲ ⟨τῆς⟩ φορᾶς τοῖς ἀπλανέσιν ἄστροις ὑπαρχούσης συμβαίνει μὴ πάντα τὰ ἅμα ἀνατέλλοντα καὶ ⟨ἅμα⟩ δύνειν, ἀλλὰ τῶν ⟨ἅμα⟩ ἀνατελλόντων ἀεὶ τὰ πρὸς μεσημβρίαν μᾶλλον αὐτῶν κείμενα πρότερον δύνειν διὰ τὸ ἐλάττονα τμήματα ὑπὲρ γῆν φέρεσθαι.

---

1. Quod novum caput instauravimus, cf. Praef. Cap. V. || 5. ἀπ᾽ ἀνατολῆς*] ἀπ᾽ ἀνατολῶν vulg., cf. ind. gr. s. v. ἀνα-

Vierzehntes Kapitel.

Von den Bahnen der Fixsterne.

1 Bei der kreisförmigen Bewegung der Sterne von Osten nach Westen ist folgendes zu beachten:

1. Alle Sterne, welche auf dem Äquator liegen, durchlaufen die gleich grofse Bahnstrecke über der Erde, wie unter der Erde, weil der Äquator vom Horizonte halbiert wird.

2 2. Alle Sterne, welche vom Äquator nach Norden zu liegen, bewegen sich längere Zeit über und kürzere Zeit unter der Erde. Denn von allen Kreisen, auf welchen sich die nördlichen Fixsterne bewegen, werden gröfsere Bogen über und kleinere unter der Erde vom Horizonte abgeschnitten infolge der Erhebung des Pols.

3 3. Alle Sterne, welche vom Äquator nach Süden zu liegen, haben eine kleinere Bahn über und eine gröfsere unter der Erde zurückzulegen. Denn umgekehrt haben die Kreise, auf welchen sich die südlichen Fixsterne bewegen, kleinere Bogen über und gröfsere unter der Erde.

4 Auf diese im vorstehenden mitgeteilten Bahnverhältnisse der Fixsterne (gründen sich folgende Lehrsätze):

1. a) Nicht alle gleichzeitig aufgehenden Sterne gehen auch gleichzeitig wieder unter. Vielmehr gehen von den gleichzeitig aufgehenden jedesmal die weiter südlich gelegenen eher wieder unter, weil sie kleinere Bogen über der Erde zurücklegen.

τολή. | *οὖν* eiciendum est, linea deletum V. ‖ 6. *ὑπὲρ γῆς* V²V hic et infra 10. 13. 17. 20. ‖ 7. *ὑπὸ γῆς* V² hic tantum. ‖ 9. *τοῖς ἄστροις* codd. ‖ 11. *ἐλάττονος* V²V. | *δ' ὑπὸ* V²V. | *τῶν* om. Ur. H. Mi. ‖ 14. *ἐλάττονος* V¹B (*α* supra *ος* scr.) hic tantum, *ἐλάττονο* V² hic et infra 17. ‖ 17. *ὑπὲρ γῆς* V². ‖ 18. *ἀνάπαλιν**] *πάλιν* vulg. (Lat. hiat); fortasse etiam *πάντων* pro *πάλιν* scribendum est. ‖ 19. *πρὸς**] *ἐπὶ* vulg., cf. ind. gr. s. v. *μεσημβρία*. ‖ 23. *τὰ* om. V¹. | *ἀνατέλλοντα*] *ἀνατέλλειν* V¹. ‖ 24. *ἅμα* bis add. edd.; *sequitur ne omnes stelle, que simul oriuntur, simul occidant* Lat.

5 *Ὁμοίως δὲ οὐδὲ τὰ ἅμα δύνοντα ἅμα καὶ ἀνατέλλει. τὰ γὰρ πρὸς ἄρκτον αὐτῶν μᾶλλον κείμενα πρότερον ἀνατέλλει διὰ τὸ ἐλάττονα τμήματα ὑπὸ γῆν* E *φέρεσθαι.*

6 *Πάλιν δὲ οὐδὲ τὰ πρότερον ⟨ἀνατέλλοντα⟩ καὶ* 5 *⟨πρότερον⟩ δύνει, ἀλλὰ τινὰ μὲν τῶν πρότερον ἀνα-*
61 *τελλόντων ἅμα καὶ δύνει, τινὰ δὲ ὕστερον.*

7 *Ὁμοίως δὲ καὶ τῶν πρότερον δυνόντων τινὰ μὲν οὐ προανατέλλει, ἀλλ' ἅμα μὲν ἀνατέλλει [καὶ δύνει, τὰ μὲν πρότερον], τὰ δὲ ὕστερον.* 10

8 *Μνημονεύει δὲ καὶ τούτων ἐπὶ ποσὸν Ἄρατος λέγων οὕτως·*

177 *ἀλλ' αἰεὶ Ταῦρος προφερέστερος Ἡνιόχοιο* 49 A
εἰς ἑτέρην καταβῆναι, ὁμηλυσίῃ περ ἀνελθών.

ἐν γὰρ τούτοις φησὶ τὸν Ταῦρον ἅμα τῷ Ἡνιόχῳ 15 *ἀνατείλαντα πρότερον δύνειν. γίνεται δὲ τοῦτο παρὰ τὴν τῶν τμημάτων ὑπεροχήν, ὧν ὑπὲρ γῆν φέρονται καὶ ὑπὸ γῆν οἱ ἀπλανεῖς ἀστέρες.*

9 *Διὰ δὴ τὴν τοιαύτην σφαιροποιίαν οὐ πάντα τὰ ἄστρα ἀνατέλλει καὶ δύνει καθ' ἑκάστην νύκτα, ἀλλὰ* B *τινὰ μὲν ἀνατέλλει καὶ δύνει, τινὰ δὲ ἀνατέλλει μέν,* 21
10 *οὐ δύνει δέ, ἃ δὲ οὔτε ἀνατέλλει οὔτε δύνει. ἀλλὰ τὰ μὲν ἀρκτικώτερα κείμενα μετέωρα ὑπάρχοντα μετὰ τὴν τοῦ ἡλίου δύσιν πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς ἔτι*

1—2. *ἀνατέλλει. τὰ γὰρ πρ. ἄρκτον* V[1]: *ἀνατέλλοντα πρ. ἄρκτον* V[2]V, *ἀνατέλλει, ἀλλὰ τὰ πρ. ἄρκτον* edd. ‖ 3. *ἐλάττω* V. | *ὑπὸ γῆς* V[2]V. ‖ 5. inter *τὰ* et *πρότερον* suprascribitur *ἀν*[τα] m. 2 V[1], *τὰ ἀντὰ πρότερον* B. | *ἀνατέλλοντα* et *πρότερον* add. V (ad marg.) edd. ‖ 6. *τῶν προτέρων* V[1]V[2]. ‖ 7. *καὶ* ante *δύνει* transponendum esse videtur ante *ὕστερον.* | *δ' ὕστερον* codd. | 8. *τῶν προτέρων* codd. ‖ 9. *καὶ* ante *δύνει* om. V[1]V[2]. ‖ 10. *δ' ὕστερον* V[1]V. ‖ 11. *ἐπὶ πόσων* V[2]V, *ἐπιπόσων* ed. pr., *ἐπὶ ποσῶν* H. ‖ 14. *ὁμήλυσϊπερ* V[1]V[2] (sine acc.) V, *ὁμήλοσϊπερᾶν ἐλθών* B. ‖

b) In entsprechender Weise gehen die gleichzeitig untergehenden Sterne nicht auch gleichzeitig wieder auf. Vielmehr gehen die weiter nördlich gelegenen eher wieder auf, weil sie kleinere Bogen unter der Erde zurücklegen. 5

2. a) Ferner gehen die früher aufgehenden Sterne (deshalb) nicht auch früher unter (als später aufgehende), sondern manche von diesen früher aufgehenden gehen gleichzeitig (mit später aufgehenden) unter, manche (sogar) später. 6

b) In entsprechender Weise gehen von den früher untergehenden (deshalb) manche nicht auch früher wieder auf (als später untergehende), sondern gleichzeitig (mit später untergehenden), manche auch später. 7

Diese Verhältnisse erwähnt in gewisser Beziehung auch Aratos, indem er sagt: 8

177 Doch ist immer der Stier eilfertiger als der Fuhrmann,
Gilt es unterzugehn, da zugleich mit jenem er aufstieg.

Hiermit sagt er, dafs der Stier, obwohl gleichzeitig mit dem Fuhrmann aufgegangen, doch eher wieder untergehe. Es geschieht dies infolge der verschieden grofsen Bogen, welche die Fixsterne über, beziehentlich unter der Erde zurücklegen.

Die im vorstehenden geschilderte Beschaffenheit der Fixsternsphäre hat nun zur Folge, dafs nicht alle Sterne in jeder Nacht aufgehen und untergehen; vielmehr gehen manche auf und unter, manche gehen auf, aber nicht wieder unter, während noch andere weder aufgehen noch untergehen. (Letzteres ist der Fall bei) den stark nördlich gelegenen Sternen, insofern als dieselben nach Sonnenuntergang schon hoch stehen und vor Sonnenaufgang in 9 10

---

15. τὸν ταῦρον ἅμα V[2]: ἅμα τὸν τ. cett. ‖ 16. τοῦτο] οὕτω Ur. H. Mi. ‖ 17. ὑπὲρ γῆς V[2]V. ‖ 18. ὑπὸ γῆς V. ‖ 19. δή] δὲ edd. ‖ 20. καὶ δύνει V[2]: om. cett. ‖ 22. οὔτ' ἀν. edd. hic et infra 160, 2.

μετεωρότερα φαίνεται· τὰ δὲ μεσημβρινώτερα κείμενα οὔτε ἀνατέλλοντα οὔτε δύνοντα θεωρεῖται, ἀλλὰ πάντα τὸν τῆς νυκτὸς χρόνον ὑπὸ γῆν φέρεται.

11 *Ὅθεν καί τινα τῶν ἄστρων ἀμφιφανῆ καλεῖται, καθάπερ καὶ ὁ Ἀρκτοῦρος. μετὰ γὰρ τὴν τοῦ ἡλίου* C *δύσιν πλεονάκις θεωρεῖται δύνων τε ἐν τῇ αὐτῇ νυκτὶ* 6 *καὶ προανατέλλων τοῦ ἡλίου φαίνεται. δι' ἣν αἰτίαν καλεῖται ἀμφιφανής, ὅτι καὶ ἀφ' ἑσπέρας δύνων καὶ* 12 *ἀνατέλλων ἐν τῇ αὐτῇ νυκτὶ θεωρεῖται. τὰ δ' ἐναντίαν ἔχει τάξιν, ὅσα προδύνει μὲν ⟨πρὸ⟩ τῆς τοῦ ἡλίου* 10 *δύσεως, ἐπανατέλλει δὲ μετὰ τὴν τοῦ ἡλίου ἀνατολήν, ὥςτε καθ' ὅλην τὴν νύκτα μὴ θεωρηθῆναι μήτε ἀνατέλλοντα μήτε δύνοντα, ἃ δὴ καλοῦσί τινες νυκτιδιέξοδα.*

13 *Οὐ κατὰ πάντα δὲ καιρὸν ταῦτα [πάντα] τὰ ἰδιώ-* D *ματα περὶ τοὺς αὐτοὺς ἀστέρας ὑπάρχει, ἀλλὰ παρὰ* 16 *τὰς τοῦ ἡλίου μεταβάσεις ἀλλοιοῦται καὶ τὰ περὶ τὰς ἀνατολὰς καὶ τὰ περὶ τὰς δύσεις.*

Cap. XV.

Περὶ τῶν ἐν γῇ ζωνῶν. 20

1 *Ἡ τῆς συμπάσης γῆς ἐπιφάνεια σφαιροειδὴς ὑπάρ-* 62 *χουσα διαιρεῖται εἰς ζώνας πέντε, ὧν δύο μὲν αἱ περὶ* E *τοὺς πόλους, πορρώτατα δὲ κείμεναι τῆς τοῦ ἡλίου παρόδου, κατεψυγμέναι λέγονται καὶ ἀοίκητοι διὰ τὸ*

---

1. *μεσημβρινότερα* V²V. ‖ 3. *ὑπὸ γῆν* B Ur. H. Mi.: *ὑπὲρ γῆν* V¹ (ex corr.) V²V ed. pr.; *tota nocte sub terra* Lat. | *φέρεται* V²: *φέρονται* cett. ‖ 7. *φαίνεται*] *βλέπεται* V²V cod.² Pet. ed. pr. ‖ 7—9. *δι' ἣν αἰτίαν — θεωρεῖται* om. Lat. ‖ 8. *καὶ ὅτι καὶ* codd. ‖ 9. *δὲ ἐναντίαν* edd. ‖ 10. *πρὸ* adieci, cf. 150, 12. ‖

noch gröſserer Höhe sichtbar sind, wogegen man die stark südlich gelegenen Sterne weder aufgehen noch untergehen sieht, weil sie sich während der ganzen Nachtzeit unter der Erde bewegen.

So heiſsen denn auch manche Sterne zweimalsichtbar, wie z. B. der Arktur. Oft sieht man ihn nach Sonnenuntergang untergehen, und noch in derselben Nacht geht er vor der Sonne auch wieder sichtbar auf. Aus diesem Grunde heiſst er zweimalsichtbar, weil erstens am Abend sein Untergang, zweitens in derselben Nacht sein Aufgang sichtbar ist. — Die umgekehrte Erscheinung bieten diejenigen Sterne dar, welche schon vor Sonnenuntergang untergehen und erst nach Sonnenaufgang wieder aufgehen, sodaſs die ganze Nacht weder ihr Aufgang noch ihr Untergang beobachtet wird. Manche nennen sie deswegen Nachtpassanten.[27]) 11 12

Nicht zu jeder Zeit haben indessen die nämlichen Sterne die hier geschilderten Eigenschaften an sich, sondern je nach dem Stand der Sonne verändern sich auch die Aufgangs- und Untergangserscheinungen. 13

Fünfzehntes Kapitel.

Von den Zonen auf der Erde.

Die Oberfläche der ganzen Erde ist der einer Kugel gleich und wird in fünf Zonen eingeteilt. Von diesen heiſsen die beiden um die Pole gelegenen, welche von der Bahn der Sonne am weitesten entfernt liegen, die kalten und sind wegen der Kälte unbewohnbar. Begrenzt werden sie nach den Polen hin von den arktischen 1

12. *μήτ' ἀν.* edd., *μὴ δὲ ἀν.* V¹V². ‖ 13. *νυκτὶ διέξοδα* V²V (*διεξόδα*); *noctis vigiles* Lat. ‖ 15. *πάντα* delendum esse videtur: *et iste proprietates non secuntur stellas in omni tempore* Lat. ‖ 16. *παρὰ**] *περὶ* vulg., cf. ind. gr. s. v. *παρά*; *diversificantur secundum quantitatem permutationis solis per motum suum* Lat. ‖ 21. *γῆς* om. Pr. ‖ 22. *δύο ὧν μὲν* Pr. c.

ψυχός ⟨εἰσιν⟩. ἀφορίζονται δ' ὑπὸ τῶν ἀρκτικῶν πρὸς
2 τοὺς πόλους. αἱ δὲ τούτων ἑξῆς, συμμέτρως δὲ κεί-
μεναι πρὸς τὴν τοῦ ἡλίου πάροδον, εὔκρατοι καλοῦνται.
ἀφορίζονται δ' αὗται ὑπὸ τῶν ἐν τῷ κόσμῳ ἀρκτικῶν
3 καὶ τροπικῶν κύκλων, μεταξὺ κείμεναι αὐτῶν. ἡ δὲ 5
λοιπὴ μέση τῶν προειρημένων, κειμένη δ' ὑπ' αὐτὴν 50 A
τὴν τοῦ ἡλίου πάροδον, διακεκαυμένη καλεῖται. διχο-
τομεῖται δ' αὕτη ὑπὸ τοῦ ἐν τῇ γῇ ἰσημερινοῦ κύκλου,
ὃς κεῖται ὑπὸ τὸν ἐν τῷ κόσμῳ ἰσημερινὸν κύκλον.
4 Τῶν δὲ εὐκράτων δύο ζωνῶν ⟨τὴν βόρειον⟩ ὑπὸ 10
τῶν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ κατοικεῖσθαι συμ-
βέβηκεν, ἐπὶ μὲν τὸ μῆκος οὖσαν ὡς ἔγγιστα περὶ
δέκα μυριάδας σταδίων, ἐπὶ δὲ τὸ πλάτος ὡς ἔγγιστα
τὸ ἥμισυ.

Cap. XVI. 15

Περὶ οἰκήσεων. B

1 Τῶν δὲ ἐπὶ ⟨τῆς⟩ γῆς κατοικούντων οἱ μὲν λέ-
γονται σύνοικοι, οἱ δὲ περίοικοι, οἱ δ' ἄντοικοι, οἱ
δ' ἀντίποδες. σύνοικοι μὲν οὖν εἰσιν οἱ περὶ τὸν αὐτὸν
τόπον τῆς αὐτῆς ζώνης κατοικοῦντες, περίοικοι δὲ οἱ 20
ἐν τῇ αὐτῇ ζώνῃ κύκλῳ περιοικοῦντες, ἄντοικοι δὲ οἱ
ἐν τῇ [αὐτῇ] νοτίῳ ζώνῃ ὑπὸ τὸ αὐτὸ ἡμισφαίριον C
κατοικοῦντες, ἀντίποδες δὲ οἱ ἐν τῇ νοτίῳ ζώνῃ ἐν τῷ
ἑτέρῳ ἡμισφαιρίῳ κατοικοῦντες κατὰ τὴν αὐτὴν διά-

---

1. *εἰσιν* add. Pr.: *et sunt inhabitabiles* Lat. | δὲ ὑπὸ Pr. edd. ‖ 2. συμμ. μὲν Pr. b c d (δὲ a). ‖ 4. δὲ αὗται Pr. c ed. pr., δὲ αὐταὶ Ur. H. Mi. | ἐν τῇ γῇ pro ἐν τῷ κόσμῳ legendum esse videtur vel post αὗται explendum ⟨ὑπὸ τῶν ἐν τῇ γῇ ἀρκτ. καὶ τροπ. κύκλων, οἳ κεῖνται ὑπὸ τοὺς . . .⟩; om. Lat. ‖ 6. δ' ὑπ' V Pr. d: δ* ὑπ' V[2], ὑπ' V[1], δὲ ὑπ' edd., δ' ἐπ' Pr. b c, δ̄. ἐπ' Pr. a. ‖ 8. δ' αὕτη V: δὲ αὕτη ed. pr., δ' αὐτὴ V[1]V[2] Pr., δὲ

Kreisen. Die beiderseits anschliefsenden, welche sich gegenseitig in ihrer Lage zur Bahn der Sonne entsprechen, heifsen die gemäfsigten. Begrenzt werden dieselben von den irdischen arktischen und Wendekreisen, sodafs sie zwischen denselben liegen. Die noch übrige, welche in der Mitte zwischen den zuletzt genannten gerade unter der Bahn der Sonne liegt, wird die heifse genannt. Dieselbe wird von dem irdischen Äquator, welcher unter dem kosmischen Äquator liegt, in zwei Hälften geteilt. 2 3

Von den zwei gemäfsigten Zonen wird die nördliche von den Bewohnern des zur Zeit bewohnten Teiles der Erde bevölkert, und zwar hat sie in der Länge eine Ausdehnung von ungefähr 100 000 Stadien (2500 Meilen), während die Breite ungefähr die Hälfte beträgt. 4

Sechzehntes Kapitel.

Von den Wohnorten.

Die Bewohner der Erde werden als Mitwohner, Nebenwohner, Gegenwohner und Gegenfüfsler bezeichnet. Mitwohner sind diejenigen, welche an demselben Orte der nämlichen Zone wohnen, Nebenwohner, welche in der nämlichen Zone im Halbkreise herum (180° geogr. Länge entfernt) wohnen, Gegenwohner, welche in der südlichen Zone unter derselben Halbkugel wohnen, Gegenfüfsler endlich, welche in der südlichen Zone unter der anderen Halbkugel wohnen, somit an demselben 1

αὐτὴ Ur. H. Mi. ‖ 10. ζωνῶν ἡ ὑπὸ τῶν ἐν Pr. b c (ἣ d, om. a). | τὴν βόρειον add. edd. ‖ 10—11. ὑπὸ habet ante τὴν βόρειον (haec in loco raso) et tum τῶν ἐν om. V. | ὑπὸ τῶν ἐν om. ed. pr. ‖ 11. τῇ καθ' ἡμᾶς οἰκουμένῃ] τὴν καθ' ἡμᾶς οἰκουμένην V (ex correct.: primitus τῇ καθ' ἡμᾶς οἰκουμένῃ) ed. pr. | κατοικ.] οἰκεῖσθαι edd. ‖ 12. μὲν om. ed. pr. | οὖσαν] οὖσα Pr. b c d (a hab. οὖσαν). ‖ 17. τῆς adieci, cf. ind. gr. s. v. γῆ. | 18. περίοικοι] περίκυκλοι V[2] hic et infra. | δὲ ἄντ. edd. hic et infra. ‖ ἄντϊκοι V[2] hic et infra. ‖ 22. αὐτῇ eiciendum est: *qui habitant zonam meridianam sub una duarum medietatum spere* Lat.

μετρον κείμενοι τῇ καθ' ἡμᾶς οἰκουμένῃ· διὸ κέκληνται
2 ἀντίποδες. πάντων γὰρ τῶν βαρέων ἐπὶ τὸ κέντρον
συννευόντων διὰ τὸ ἐπὶ τὸ μέσον εἶναι τὴν φορὰν τῶν
σωμάτων, ἐὰν ἀπό τινος οἰκήσεως τῶν ἐν τῇ καθ'
ἡμᾶς οἰκουμένῃ ἐπὶ τὸ κέντρον τῆς γῆς ἐπιζευχθῇ τις 5
63 εὐθεῖα καὶ ἐκβληθῇ, οἱ κατὰ τὸ πέρας κείμενοι τῆς D
διαμέτρου ἐν τῇ νοτίῳ ζώνῃ ἀντίποδες γίνονται τῶν ἐν
τῇ βορείῳ ζώνῃ κατοικούντων.

3 *Διαιρεῖται* δὲ ἡ καθ' ἡμᾶς οἰκουμένη εἰς μέρη
τρία, Ἀσίαν, Εὐρώπην, Λιβύην. διπλάσιον δέ ἐστιν 10
4 ὡς ἔγγιστα τὸ μῆκος τῆς οἰκουμένης τοῦ πλάτους. δι'
ἣν αἰτίαν οἱ κατὰ λόγον γράφοντες τὰς γεωγραφίας
ἐν πίναξι γράφουσι παραμήκεσιν, ὡς διπλάσιον εἶναι
τὸ μῆκος τοῦ πλάτους. οἱ δὲ στρογγύλας γράφοντες E
τὰς γεωγραφίας πολὺ τῆς ἀληθείας εἰσὶ πεπλανημένοι. 15
ἴσον γὰρ γίνεται τὸ μῆκος τῷ πλάτει, ὅπερ οὐκ ἔστιν
5 ἐν τῇ φύσει. ἀνάγκη οὖν μὴ τηρεῖσθαι τὰς τῶν δια-
στημάτων συμμετρίας τὰς ἐν ταῖς στρογγύλαις γεω-
γραφίαις. ἔκτμημά τι γάρ ἐστι σφαίρας τὸ οἰκούμενον
μέρος τῆς γῆς διπλάσιον ἔχον τὸ μῆκος τοῦ πλάτους, 20
ὅπερ οὐ δύναται ἀποτερματίζεσθαι κύκλῳ.

6 *Ἀναμεμετρημένου* δὲ τοῦ μεγίστου κύκλου τῶν ἐν 51 A
τῇ γῇ⟨, ὃς κεῖται⟩ κατὰ τὸν ἐν τῷ κόσμῳ μεσημβρινόν,
καὶ εὑρημένου μυριάδων κε´ καὶ σταδίων ͵β, τῆς ⟨δὲ⟩
διαμέτρου μυριάδων η´ καὶ σταδίων ͵δ, διαιρουμένου 25
τε τοῦ μεσημβρινοῦ κύκλου εἰς μέρη ξ´, καλεῖται τὸ

---

3. ἐπὶ μέσον V edd. ‖ 4. ἐν*] ἐπὶ vulg., cf. ind. gr. s. v. οἰκεῖν. ‖ 8. βορείῳ] βορεία V[1] (corr. B). ‖ 17. τῶν] ἐπὶ Ur. H. Mi. ‖ 18. στρογγύλοις edd. ‖ 19. ἐκτμήμτι V[1], ἐκτμήματι B, ἐκτμήμα (τϊ) V[2]; *illud quod habitatur de superficie terre est fere sexta eius* Lat. ‖ 22. ἀναμετρημένου V[1] ed. pr. H. ‖ 24. ηὑρημένου V[2], et

Durchmesser liegen, wie der zur Zeit bewohnte Teil der Erde. Deshalb heifsen sie Gegenfüfsler. Allen schweren 2 Körpern ist nämlich der Zug nach dem Erdmittelpunkte eigen, weil der freie Fall der Körper nach der Mitte gerichtet ist. Wenn also von irgend einem Wohnorte des zur Zeit bewohnten Teiles der Erde nach dem Erdmittelpunkte eine Gerade gezogen und dann verlängert wird, so werden die am Ende dieses Durchmessers in der südlichen Zone wohnenden (Menschen) die Gegenfüfsler der in der nördlichen Zone wohnenden sein.

Der zur Zeit bewohnte Teil der Erde zerfällt in drei 3 Teile, in Asien, Europa und Libyen. Die Längenausdehnung des bewohnten Teiles beträgt ungefähr das Doppelte seiner Breite. Aus diesem Grunde bedienen sich 4 diejenigen (Geographen), welche die Erdkarten im richtigen Verhältnis zeichnen, oblonger Tafeln der Art, dafs die Länge das Doppelte der Breite beträgt. Diejenigen aber, welche die Erdkarten im kreisrunden Umrifs zeichnen, sind weit davon entfernt das Richtige zu treffen.[28]) Denn (bei diesem Verfahren) wird die Länge der Breite gleich, was eben im natürlichen Verhältnis nicht der Fall ist. Es können daher die Entfernungsverhältnisse auf den in 5 rundem Umrifs gezeichneten Karten nicht als mafsgebend betrachtet werden. Denn der bewohnte Teil der Erde ist ein Kugelausschnitt, dessen Länge das Doppelte der Breite beträgt, (also eine Fläche,) deren Umgrenzungslinie unmöglich ein Kreis sein kann.

Man hat einen gröfsten Kreis der Erde, und zwar 6 denjenigen, welcher in seiner Lage dem kosmischen Meridian entspricht, ausgemessen und zu 252000 Stadien (6300 Meilen) gefunden, woraus sich der Durchmesser zu 84000 Stadien (2100 Meilen) ergiebt. Wenn man nun ferner den Meridian in 60 Teile teilt, so heifst jeder Ab-

sic constanter, ubi perfectum huius verbi occurrit. ‖ 25. ͵δ V¹V² codd. Pet. (*pro* υιε′ *vet. habent* ͵δ′): ϋιε′ V (in loco raso) edd.; *et insuper quadringenta stadia* Lat.

ἓν τμῆμα ἑξηκοστόν, ὃ γίνεται σταδίων ͵δσ΄· ἐὰν γὰρ μερισθῶσιν αἱ κε΄ μυριάδες καὶ τὰ ͵β στάδια εἰς μέρη ξ΄, γίνεται τὸ ἑξηκοστὸν σταδίων ͵δσ΄.

7 *Ἔστιν οὖν τὰ μεταξὺ τῶν ζωνῶν διαστήματα τοῦτον ἀφωρισμένα τὸν τρόπον. τῶν μὲν κατεψυγμένων* 5 *δύο ζωνῶν τὸ πλάτος ἑκατέρας αὐτῶν ἑξηκοστῶν ἕξ,* B *ἅπερ εἰσὶ στάδιοι [μὲν] ͵κεσ΄· τῶν δ᾽ εὐκράτων δύο ζωνῶν τὸ πλάτος ἑκατέρας αὐτῶν ἑξηκοστῶν πέντε, ἃ γίνεται στάδιοι [μὲν] ͵κα· τῆς δὲ διακεκαυμένης ζώνης τὸ πλάτος ἑξηκοστῶν ὀκτώ, ὥςτε ἀπὸ τοῦ ἰσημερινοῦ* 10 *ἐφ᾽ ἑκάτερα πρὸς τοὺς τροπικοὺς ἑξηκοστὰ εἶναι τέσσαρα, ἃ γίνεται στάδια [μὲν] ͵ιςω΄.*

8 *Γίνονται οὖν ἀπὸ μὲν τοῦ πόλου τοῦ ἐν τῇ γῇ, ὃς κεῖται κατὰ τὸν ἐν τῷ κόσμῳ πόλον, μέχρι τοῦ ἐν τῇ γῇ ἀρκτικοῦ στάδιοι [μὲν] ͵κεσ΄, ἀπὸ δὲ τοῦ ἐν τῇ* C *γῇ ἀρκτικοῦ, ὃς κεῖται κατὰ τὸν ἐν τῷ κόσμῳ ἀρκτικόν,* 15 *πρὸς τὸν ἐν τῇ γῇ ⟨θερινὸν⟩ τροπικόν, ὃς κεῖται κατὰ τὸν ἐν τῷ κόσμῳ θερινὸν τροπικόν, στάδιοι [μὲν] ͵κα, ἀπὸ δὲ τοῦ θερινοῦ τροπικοῦ ⟨μέχρι⟩ τοῦ ἐν τῇ γῇ ἰσημερινοῦ, ὃς κεῖται κατὰ τὸν ἐν τῷ κόσμῳ ἰση-* 20 9 *μερινόν, στάδιοι ͵ιςω΄. πάλιν ⟨δὲ⟩ ἀπὸ τοῦ ἰσημε-* 64 *ρινοῦ πρὸς τὸν ἕτερον τροπικὸν ⟨στάδια⟩ ͵ιςω΄, ἀπὸ δὲ τοῦ τροπικοῦ πρὸς τὸν ἀνταρκτικὸν στάδια ͵κα, ἀπὸ δὲ τοῦ ἀνταρκτικοῦ πρὸς τὸν ἕτερον πόλον ⟨στά-* D *δια⟩ ͵κεσ΄. ὥςτε συνάγεσθαι τὸ μεταξὺ τῶν πόλων διά-* 25 *στημα μυριάδων ιβ΄ καὶ σταδίων ͵ς, ὅπερ ἐστὶν ἥμισυ*

---

1. *σταδίων**] om. V²V ed. pr., *στάδια* (post ͵δσ΄) V¹B Ur. H. Mi. ‖ 6. *δύο ζωνῶν* transposui: *ζωνῶν δύο* V (*δύο* suprascr. m. 2 supra *πέντε*, quod est deletum linea) edd, *ζωνῶν ε** V², numerum om. cum lacuna V¹, sine lacuna B. ‖ 7. *μὲν* post *στάδιοι* (hic et infra quater) exortum esse suspicor ex siglo pro *χιλιάς*, quod primitus in codicibus fuisse videtur ante numeros, qui

schnitt ein Sechzigteil und enthält 4200 Stadien (105 Meilen); soviel kommen nämlich auf ein Sechzigteil, wenn man die 252 000 Stadien durch 60 dividiert.

7 Die Abstände der einzelnen Zonen sind nun in folgender Weise genau festgesetzt. Es beträgt die Breite einer jeden der beiden kalten Zonen $\frac{6}{60}$ = 25 200 Stadien, einer jeden der beiden gemäfsigten Zonen $\frac{5}{60}$ = 21 000 Stadien, der heifsen Zone $\frac{8}{60}$, und zwar vom Äquator bis beiderseits zum Wendekreis je $\frac{4}{60}$ = 16 800 Stadien.

8 Es betragen demnach die Abstände

vom irdischen Pol bis zum irdischen arktischen Kreise	25 200	Stadien;
von da bis zum irdischen Sommerwendekreise	21 000	„
von da bis zum irdischen Äquator . .	16 800	„
9 von da bis zum anderen irdischen Wendekreise	16 800	„
von da bis zum irdischen antarktischen Kreise	21 000	„
von da bis zum anderen irdischen Pol	25 200	„

Mithin beträgt der Abstand von Pol zu Pol in Summa 126 000 Stadien, d. i. die Hälfte des Erdumfangs, da die Entfernung von Pol zu Pol einen Halbkreis ausmacht.

---

hodie corrupti aut manu recentiore correcti extant. | ͵κεσ′] εσ V², ε̅ύ V¹ (in loco raso) B, κεσ V (κ m. 2 adi. vid.). | δὲ εὐκρ. edd. ‖ 8. ᾱ̈] ὃ codd. ‖ 9. γίνονται V¹V². | pro στάδιοι et στάδια (infra 12) σταδίων leg. esse vid. | ͵κα] κ̇ε V², δ̈ ϥ V¹ (in loco raso) B. ‖ 12. ͵ιϛω′] ϛω V², γ̈ ͵γχ V¹ (in loco raso) B, λ γχ V (ex correct. supra rasuram). ‖ 15. ͵κεσ′] μ̈ εσ V¹ (μ̈ adi. m. 2) εσ BV², ͵κεσ′ V (͵κ m. 2 adi. vid.). ‖ 19. ͵κα] ϑ* (incerte) V², β̈ᾱ V¹ (β̈ m. 2 adi. vid.) B. | μέχρι om. V¹V²V (add. m. 2). ‖ 20. ἰσημερινὸν ὡς V¹B (ὃς supra ὡς scr.) V². ‖ 21. 22. ιϛω′] μ̈ (α supra) ϛω V², ᾱ̈ ϛω V¹ (priore loco ᾱ̈ m. 2 adi. vid.) B, λϛω′ V (λ adi. m. 2). ‖ 23. ἀνταρκτικὸν*] ἀρκτικὸν vulg. | ͵κα] μ̈ (α supra) ᾱ V², β̈α V¹ (in loco raso) B, κα V (κ in loco raso). ‖ 24. ἀνταρκτικοῦ H.: ἀρκτικοῦ cett. ‖ 25. ͵κεσ′] μ̈ (α supra) εσ V², μ̈ εσ V¹ (μ̈ m. 1) B, κ εσ V (κ in loco raso).

τῆς περιμέτρου τῆς γῆς. τὸ γὰρ ἀπὸ τοῦ πόλου ἐπὶ τὸν πόλον ἐστὶν ἡμικύκλιον.

10 Ἡ δὲ διαίρεσις τῶν ἑξηκοστῶν τούτων καὶ ἐν ταῖς κρικωταῖς σφαίραις ἡ αὐτὴ ὑπάρχει. κατασκευάζονται γὰρ αἱ κρικωταὶ σφαῖραι οὕτως. ἀπὸ τοῦ πόλου ὁ 5 ἀρκτικὸς διίσταται μοίρας λϛʹ, ὅπερ ἐστὶν ἑξηκοστὰ ἕξ· ἑξάκις γὰρ ἓξ γίνεται λϛʹ. ὁ δὲ ἀρκτικὸς ἀπὸ τοῦ θε- E ρινοῦ τροπικοῦ διίσταται μοίρας λʹ, ὅπερ ἐστὶν ἑξηκοστὰ πέντε. ὁ δὲ θερινὸς τροπικὸς ἀπὸ τοῦ ἰσημερινοῦ διέστηκε μοίρας κδʹ, ὅπερ ἐστὶν ἑξηκοστὰ τέσσαρα. 10
11 ὁ δὲ ἰσημερινὸς ἀπὸ τοῦ χειμερινοῦ τροπικοῦ διέστηκε τὰς ἴσας μοίρας κδʹ. ὁ δὲ χειμερινὸς τροπικὸς ⟨ἀπὸ⟩ τοῦ ἀνταρκτικοῦ διέστηκε μοίρας λʹ. ὁ δὲ ἀνταρκτικὸς ἀπὸ τοῦ νοτίου πόλου διέστηκε μοίρας λϛʹ. ὥστε πάλιν ἀπὸ τοῦ πόλου ἐπὶ τὸν πόλον συνάγεσθαι μὲν μοίρας 15
12 ρπʹ, ἑξηκοστὰ δὲ λʹ. πρὸς γὰρ τοῦτο τὸ ἓν κλίμα καὶ 52 A αἱ κρικωταὶ σφαῖραι κατασκευάζονται καὶ αἱ στερεαί, τῶν ἀρκτικῶν μόνων μεταπιπτόντων ἔν τισιν οἰκήσεσι κατὰ τὰς διαστάσεις. αἱ μέντοι γε ἐν τῇ γῇ ζῶναι πρὸς τὸ εἰρημένον ἓν κλίμα λαμβάνουσι τὴν διαίρεσιν. 20

13 Τῶν δὲ ἐπὶ τῆς γῆς κατοικούντων ὅσοι μὲν ἐπὶ τοῦ αὐτοῦ παραλλήλου κατοικοῦσι, τούτοις τὰ αὐτὰ φαινόμενα κατὰ τὰς οἰκήσεις γίνεται, καὶ τὰ μεγέθη τῶν ἡμερῶν ἴσα καὶ τὰ μεγέθη τῶν ἐκλείψεων τοιαῦτα
14 καὶ ⟨αἱ⟩ τῶν ὡροσκοπείων καταγραφαὶ αἱ αὐταί. καὶ B καθόλου πάντα τὰ περὶ τὰς οἰκήσεις τὰς ἐπὶ τοῦ αὐ- 26 τοῦ παραλλήλου κειμένας τὰ αὐτὰ ὑπάρχει. τὸ γὰρ ἔγκλιμα τοῦ κόσμου μένει τὸ αὐτό· παρὰ γὰρ τὸ ἔγ-
15 κλιμα τοῦ κόσμου διάφορα γίνεται τὰ φαινόμενα. αἱ

1. διαμέτρου V[1] (δια in loco raso) B. ‖ 6. ἅπερ edd. hic et infra bis. ‖ 7. γίνεται om. V[1]. ‖ 13. ἀρκτικοῦ V[2]. ‖ 13—14. μοί-

Die Einteilung nach Sechzigteilen ist auch bei den Armillarsphären genau dieselbe. Es werden nämlich die Armillarsphären auf folgende Weise verfertigt: 10

Es beträgt die Entfernung

vom Pol bis zum arktischen Kreise . . .	$36^0 = \frac{6}{60}$
von da bis zum Sommerwendekreis . . .	$30^0 = \frac{5}{60}$
von da bis zum Äquator	$24^0 = \frac{4}{60}$
von da bis zum Winterwendekreis	$24^0 = \frac{4}{60}$ 11
von da bis zum antarktischen Kreise . . .	$30^0 = \frac{5}{60}$
von da bis zum Südpol	$36^0 = \frac{6}{60}$

Es beträgt mithin wiederum der Abstand von Pol zu Pol in Summa $180^0 = \frac{30}{60}$.

Es werden nämlich die Armillarsphären sowohl wie die massiven Himmelsgloben einzig und allein in Anpassung an diese geographische Breite (von 36^0) gefertigt, indem sich nur die arktischen Kreise in einigen Wohnorten hinsichtlich ihrer Abstände verändern. Indessen erhalten (ohne Rücksicht auf diese Veränderung) die Zonen auf der Erde ihre Einteilung einzig nach Maſsgabe der genannten geographischen Breite. 12

Alle Erdbewohner, welche auf demselben Parallelkreise wohnen, haben in ihren Wohnorten dieselben Himmelserscheinungen: die Länge der Tage ist die gleiche, die Gröſse der Finsternisse ist von der gleichen Beschaffenheit,[29]) die Stundenblätter der Sonnenuhren sind dieselben. Überhaupt alle Verhältnisse der auf demselben Parallelkreise liegenden Wohnorte sind dieselben, weil die geographische Breite dieselbe bleibt; denn je nachdem diese sich verändert, werden die Himmelserscheinungen verschieden. Nur Anfang und Ende der Tage ist aller- 13 14 15

ρας λ′ — διέστηκε om. H. ‖ 20. *ἓν* om. V¹. ‖ 21. *δὲ* omisso, quod habent codd., verba *τῶν ἐπὶ τῆς γῆς κατοικ.* ad antecedentia referuntur puncto post *κατοικ.* posito edd. | *ὅσοι μὲν οὖν* Ur. H. Mi. ‖ 23. *γίνεται* V²: *γίνονται* cett. ‖ 23—24. *τὰ μεγ. τῶν ἡμ. ἴσα καὶ* om. H. ‖ 25. *ὡροσκοπείων* Mi.: *ὡροσκοπιῶν* V V² ed. pr., *ὡροσκοπῖ̃* V¹, *ὡροσκοπίων* B Ur. H.; cf. 32, 4.

*μέντοι γε ἀρχαὶ τῶν ἡμερῶν καὶ αἱ τελευταὶ οὐχ ἅμα
πᾶσι γίνονται, ἀλλ' οἷς μὲν πρότερον, οἷς δ' ὕστερον.
καὶ ἔστιν ἡ παρά τισι πρώτη ὥρα παρ' ἄλλοις μέσον*
65 16 *ἡμέρας [οὖσα], παρ' οἷς δὲ δύσις [οὖσα]. ἤδη μέντοι* C
γε πρὸς τὴν αἴσθησιν σχεδὸν ἐπὶ σταδίους υʹ ἀπ' ἀνα- 5
*τολῆς ἐπὶ δύσιν ὁ αὐτὸς ὁρίζων διαμένει, ὥστε πρὸς
αἴσθησιν ἅμα τὴν ἀνατολὴν αὐτοῖς γίνεσθαι καὶ τὴν
δύσιν. ὅταν δὲ πλεῖον γένηται ⟨τὸ⟩ διάστημα τῶν υʹ
σταδίων, προανατολαὶ καὶ προδύσεις γίνονται.*

17 *Τοῖς δὲ ἐπὶ τοῦ αὐτοῦ μεσημβρινοῦ κατοικοῦσι* 10
*μέχρι μὲν σταδίων υʹ ἀνεπαίσθητος γίνεται ἡ τῶν
κλιμάτων παραλλαγή. ἅμα τῷ μέντοι γε πλεῖον διά-
στημα ὑπερβῆναι πρὸς ἄρκτον ἢ πρὸς μεσημβρίαν
ἄλλο γίνεται ἔγκλιμα, ὥστε πάντα τὰ φαινόμενα διά-* D
18 *φορα γίνεσθαι. καὶ γὰρ τὰ μεγέθη τῶν ἡμερῶν καὶ* 15
*τὰ μεγέθη τῶν ἐκλείψεων καὶ αἱ τῶν ὡρολογίων κα-
ταγραφαὶ διάφοροι παρὰ τὰς οἰκήσεις γίνονται τοῖς
ἐπὶ τοῦ αὐτοῦ μεσημβρινοῦ κατοικοῦσι· τὸ γὰρ ἔγ-
κλιμα μεταπίπτει πρὸς ἄρκτον ἢ πρὸς μεσημβρίαν τῆς
μεταβάσεως γινομένης. τὰ μέντοι γε μέσα τῶν ἡμερῶν* 20
*καὶ τὰ μέσα τῶν νυκτῶν ἅμα πᾶσι γίνεται τοῖς ἐπὶ
τοῦ αὐτοῦ μεσημβρινοῦ κατοικοῦσιν.*

19 *Ὅταν δὲ περὶ τῆς νοτίου ζώνης λέγωμεν καὶ τῶν* E
*ἐν αὐτῇ κατοικούντων, πρὸς δὲ τούτοις περὶ τῶν
ἐν αὐτῇ ἀντιπόδων, τῶν λεγομένων οὕτως ἀκούειν* 25

---

2. *δὲ ὕστ.* edd. ‖ 3. *καί ἐστιν* Ur. H. Mi. | *τισι* recepi ex coni. *Pet.*: *πᾶσιν* vulg.; *et hora prima est apud* q u o s d a m *eorum in meridie et apud quosdam eorum in hora occasus* Lat. (L, hiat D). | *πρώτη**] *αʹ* vulg. | *παρ' ἄλλοις*] *παραλλήλοις* V¹V²V (corr. m. 2). ‖ 4. *παρ' οἷς — οὖσα* om. V¹. ‖ 8. *τὸ* add. edd. | post *υʹ σταδ.* excidisse videtur *ἀπ' ἀνατολῆς ἐπὶ δύσιν*: *cum autem spatium est in eo quod est inter duas habitationes plus*

dings nicht bei allen gleichzeitig, sondern tritt für die einen eher, für die anderen später ein. So ist z. B. an einem Orte erste Tagesstunde, während bei anderen Mittag ist und bei noch anderen Sonnenuntergang stattfindet. Allerdings für die sinnliche Wahrnehmung bleibt 16 auf eine Strecke von ungefähr 400 Stadien (10 Meilen) in der Richtung von Osten nach Westen derselbe Horizont, sodafs für die sinnliche Wahrnehmung den Bewohnern Aufgang und Untergang gleichzeitig stattfindet. Wird jedoch die Entfernung gröfser als 400 Stadien, so treten hinsichtlich der Aufgänge und der Untergänge Verfrühungen ein.[30])

Für diejenigen, welche auf demselben Meridian 17 wohnen, bleibt auf eine Strecke von 400 Stadien (10 Meilen) der Unterschied der geographischen Breite unbemerkbar. Sobald man aber diese Entfernung in der Richtung nach Norden oder Süden überschreitet, wird die geographische Breite eine andere, sodafs alle Himmelserscheinungen verschieden werden. Die Länge der Tage, die Gröfse der 18 Finsternisse und die Stundenblätter der Sonnenuhren werden nämlich je nach der Lage der Wohnorte für diejenigen, welche auf demselben Meridian wohnen, verschieden; denn die geographische Breite ändert sich, sobald eine Ortsveränderung in der Richtung nach Norden oder Süden stattfindet. Nur Mittag und Mitternacht tritt allerdings für alle diejenigen, welche auf demselben Meridian wohnen, gleichzeitig ein.

Wenn wir von der südlichen Zone und ihren Be- 19 wohnern sprechen und überdies von den Gegenfüfslern in derselben, so mufs man diese Worte so verstehen, dafs es, wenn wir auch keine Kunde von der südlichen Zone

---

quadringentis stadiis ab oriente ad occidentem, diversificantur apparentia super eos Lat. ‖ 12. *ἅμα τῷ* recepi ex coni. *Pet.*: *παραλλαγὴ ἅμα. τὸ μ.* vulg. ‖ 13. *ὑπερβαῖνον* cod.² Pet. ed. pr. ‖ 16. *ὡρολογίων* V¹ Mi.: *ὡρολογείων* cett.; cf. cett. locos, quos affert ind. gr. s. v. *ὡρολόγιον.* ‖ 19. *ἢ* ante *πρὸς ἄρκτον* add. edd. ‖ 25. *ἀντιπόδων τῶν λεγομένων, οὕτως* B Ur. H. Mi.

προσήκει ὡς μηδεμίαν ἡμῶν ἱστορίαν παρειληφότων περὶ τῆς νοτίου ζώνης, μηδ' εἴ τινες ἐν αὐτῇ κατοικοῦσιν, ἀλλ' ὅτι ἕνεκεν τῆς ὅλης σφαιροποιίας καὶ τοῦ σχήματος τῆς γῆς καὶ τῆς παρόδου τοῦ ἡλίου τῆς μεταξὺ τῶν τροπικῶν γινομένης, ἔστι τις καὶ ἑτέρα ζώνη πρὸς 5 *νότον κειμένη τὴν αὐτὴν εὐκρασίαν ἔχουσα τῇ βορείῳ* 53 A
20 *ζώνῃ, ἐν ᾗ κατοικοῦμεν ἡμεῖς. ὁμοίως δὲ καὶ περὶ τῶν ἀντιπόδων λέγομεν, οὐχ ὡς κατὰ πᾶν οἰκούντων τινῶν κατὰ τὴν αὐτὴν διάμετρον ἡμῖν, ἀλλ' ⟨ὡς⟩ ὄντος τινὸς τόπου οἰκησίμου ἐπὶ τῆς γῆς κατὰ διά-* 10 *μετρον ἡμῖν.*

21 *Ὑπὸ δὲ τὴν διακεκαυμένην ζώνην τινὲς τῶν ἀρχαίων ἀπεφήναντο, ὧν ἐστι καὶ Κλεάνθης ὁ Στωϊκὸς* 66 *φιλόσοφος, ὑποκεχύσθαι μεταξὺ τῶν τροπικῶν τὸν* 22 *ὠκεανόν. οἷς ἀκολούθως καὶ Κράτης ὁ γραμματικὸς* B *τὴν πλάνην τοῦ Ὀδυσσέως διατάσσων καὶ τὴν ὅλην* 16 *σφαῖραν τῆς γῆς καταγράφων τοῖς ἀφοριζομένοις κύκλοις, καθὼς προειρήκαμεν, ποιεῖ μεταξὺ τῶν τροπικῶν τὸν ὠκεανὸν κείμενον, λέγων ἀκολούθως τοῖς μαθηματικοῖς* 23 *τὴν ὅλην διάταξιν ποιεῖσθαι. ἡ δὲ τοιαύτη διάταξις* 20 *ἀλλοτρία ἐστὶ καὶ τοῦ μαθηματικοῦ καὶ τοῦ φυσικοῦ λόγου καὶ παρ' οὐδενὶ τῶν ἀρχαίων μαθηματικῶν κα-* 24 *τακεχωρισμένη, ὡς ἀποφαίνεται Κράτης. μεταξὺ γὰρ* C *τῶν τροπικῶν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἤδη καὶ κατώπτευται καὶ εὕρηται τὰ πλεῖστα οἰκήσιμα καὶ οὐ* 25 *πελάγει πάντοθεν περιεχόμενα. καὶ τοῦ μεταξὺ δια-*

---

2. *μηδὲ εἴ* edd. ‖ 8. *κατάπαν* ed. pr. ‖ 9. *ὡς* adieci, cf. ind. gr. s. v. *ὡς*. ‖ 10. *γῆς* om. V[1]. ‖ 13. *Κλεάνθης* V[2]: *Κλέανθος* cett.; *belenus alroguani* Lat. | *στοικὸς* V, *Στωδωϊκὸς* Ur. ‖ 17. *ἀφοριζομένοις* V[2]: *ὁριζομένοις* cett. ‖ 20. *τὴν ὅλης γῆς διάταξιν* edd. ‖ 22. *παρ' οὐδὲν* codd. | *κατεχωρισμένη* V[2]. ‖ 23. punctum et *γὰρ* transposui: *Κράτης μεταξὺ τῶν τροπικῶν. ἐν γὰρ τοῖς* vulg.;

haben, noch davon, ob überhaupt Menschen in derselben wohnen, trotz alledem mit Rücksicht auf den sphärischen Bau des Weltalls, auf die Gestalt der Erde und auf die zwischen den Wendekreisen verlaufende Bahn der Sonne noch eine zweite nach Süden zu gelegene Zone geben mufs, welche dasselbe gemäfsigte Klima hat wie die nördliche Zone, in welcher wir wohnen. In dem 20 gleichen Sinne reden wir auch von den Gegenfüfslern, nicht als ob durchaus uns diametral gegenüber Menschen wohnten, sondern in der Annahme, dafs es uns diametral gegenüber auf der Erde einen Ort giebt, welcher bewohnbar ist.

Unter der heifsen Zone soll, wie einige von den Alten, 21 zu denen auch der stoische Philosoph Kleanthes gehört, behaupten, zwischen den Wendekreisen das Weltmeer ausgebreitet sein. Im Anschlufs an diese (Vorgänger) 22 läfst auch der Grammatiker Krates, indem er die Irrfahrten des Odysseus planmäfsig anzuordnen sucht und die ganze Erdkugel mit den abgrenzenden Kreisen, wie wir sie oben angegeben haben, versieht, das Weltmeer zwischen den Wendekreisen liegen, indem er versichert, dafs er seine ganze planmäfsige Anordnung im Anschlufs an die (Anschauungen der) Mathematiker mache. Die 23 von ihm getroffene Anordnung entspricht aber weder der mathematischen noch der naturwissenschaftlichen Auffassung und ist auch bei keinem der alten Mathematiker in Schriften niedergelegt, wie Krates behauptet. Die 24 Gegenden zwischen den Wendekreisen sind nämlich heutzutage bereits von Forschungsreisenden aufgesucht und gröfstenteils als bewohnbar und keineswegs allenthalben vom Meere umgeben befunden worden. Von dem zwischen Sommerwendekreis und Äquator sich in einer Ausdehnung von 16 800 Stadien (420 Meilen) erstreckenden Raume ist nicht nur bereits eine Strecke von etwa 8800 Stadien

---

sicut dixit karites versificator. et retulit quod illud quod est inter duos tropicos Lat. ‖ 26. πελάγη V ed. pr. | πάντοτε ed. pr.

στήματος ὑπάρχοντος ἀπὸ τοῦ θερινοῦ τροπικοῦ μέχρι τοῦ ἰσημερινοῦ ⟨σταδίων⟩ ͵ιϛω΄ καὶ σχεδὸν ὡς ἐπὶ σταδίους ͵ηω΄ ὡδοιπόρηται καὶ ἡ περὶ τούτων τῶν τόπων ἱστορία ἀναγέγραπται διὰ τῶν ἐν Ἀλεξανδρείᾳ βασιλέων ἐξητασμένη. ὅθεν ψευδοδοξοῦσιν οἱ νομί- D *ζοντες τὸν ὠκεανὸν ὑποκεχύσθαι μεταξὺ τῶν τροπικῶν.* 6

25 *Ἐκ δὲ τούτων φανερὸν ὅτι καὶ τὸ δοξαζόμενον, ὅτι ἀοίκητός ἐστιν ἡ μεταξὺ τῶν τροπικῶν κειμένη χώρα διὰ τὴν τοῦ καύματος ὑπερβολήν, καὶ μάλιστα ἡ περὶ μέσην τὴν διακεκαυμένην ζώνην, ψεῦδός ἐστιν.* 10
26 *οἱ μὲν γὰρ ⟨περὶ⟩ τὰ πέρατα τῆς διακεκαυμένης ζώνης οἰκοῦντες Αἰθίοπές εἰσι κατὰ κορυφὴν ἔχοντες ἐν ταῖς τροπαῖς τὸν ἥλιον. δύο γὰρ Αἰθιοπίας ὑποληπτέον τῇ φύσει ὑπάρχειν, περί τε τὸν θερινὸν τροπικὸν τὸν* E *παρ' ἡμῖν κύκλον περιοικούντων Αἰθιόπων καὶ περὶ* 15 *τὸν ἡμῖν μὲν χειμερινὸν τροπικόν, τοῖς δ' ἀντίποσι*
27 *θερινόν. τοῦτο δέ φησι Κράτης καὶ τὸν Ὅμηρον λέγειν, ἐν οἷς φησιν·*

α 23 *Αἰθίοπες, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,*
οἱ μὲν δυσομένου Ὑπερίονος, οἱ δ' ἀνιόντος. 20

Κράτης μὲν οὖν παραδοξολογῶν τὰ ὑφ' Ὁμήρου ἀρ- 54 A *χαϊκῶς καὶ ἰδικῶς εἰρημένα μετάγει πρὸς τὴν κατὰ*
28 *ἀλήθειαν σφαιροποιίαν. Ὅμηρος μὲν γὰρ καὶ οἱ ἀρχαῖοι ποιηταὶ σχεδὸν ὡς εἰπεῖν πάντες ἐπίπεδον ὑφί-*

---

1. *τοῦ* ante *θερ.* add. V[2]: om. cett. ‖ 2. *͵ιϛω΄*] *μ̊* (α) *ϛω̄* V[2], *μ̊* (α) sine num. V, *μυρίων* sine num. V[1]B cod.[1] Pet., *μυρίων ι͵ϛω̄* H. | *καὶ σχεδὸν ὡς* transposui: *καὶ ὡς σχεδὸν* vulg. praeter V[2], qui om. *καὶ ὡς*; cf. 62, 23. ‖ 3. *͵ηω΄*] *͵β̄* V[1]B cod.[1] Pet., *βω΄* cod.[2] Pet. (*γρ. β΄ al. βω΄*), om. Lat. | *ὡδοιπόρηται**] *ὡδöπορηται* (sic) V[2], *ὡς εὐπόρηται* V[1]V Ur. H. Mi., *ὡς εὐπορεῖται* ed. pr.; *et illud iam perambulatum est* Lat. | *τούτων* om. V[2]. | *τῶν τόπων* V[2]: om. cett. ‖ 5. *οἱ νομίζοντες* om. ed. pr. ‖ 7. *δὲ*] *δὴ* V[1]. ‖

(220 Meilen) durchwandert, sondern es sind auch die über diese Gegenden angestellten Forschungen niedergeschrieben und auf Veranlassung der Könige in Alexandria geprüft worden. Daher huldigen diejenigen, welche da meinen, dafs zwischen den Wendekreisen das Weltmeer ausgebreitet sei, einer grundfalschen Ansicht.

Hieraus ist ferner ersichtlich, dafs auch die weitverbreitete Meinung unhaltbar ist, das zwischen den Wendekreisen gelegene Land sei unbewohnbar wegen der übermäfsigen Hitze, und zumal die Region in der Mitte der heifsen Zone. Die an den Grenzen der heifsen Zone wohnenden Äthiopier haben nämlich die Sonne zur Zeit der Wenden gerade im Scheitelpunkte. Man mufs nämlich annehmen, dafs es naturgemäfs zwei Äthiopierländer giebt, indem einmal unter unserem Sommerwendekreis Äthiopier wohnen, sodann unter unserem Winterwendekreis, der für unsere Gegenfüfsler Sommerwendekreis ist. Dies meine auch Homer, wie Krates behauptet, wenn er von den Äthiopiern sagt: 25 26 27

> Die, zweistämmig geschieden, am Rande des Erdrunds wohnen,
> Dort, wo Helios sinkt, und dort, wo er wieder emporsteigt.

Krates huldigt demnach einer höchst wunderbaren Auffassung, wenn er die Worte Homers, denen eine eigenartige altertümliche Anschauung zu Grunde liegt, auf die in Wahrheit vorhandene Kugelgestalt überträgt. Homer, und fast kann man sagen, die alten Dichter ohne Aus- 28

---

8. ὅτι et mox ἡ om. V[1]. | ἀοίκητον V[1]. ‖ 11. περὶ adieci, cf. ind. gr. s. v. πέρας. ‖ 13–14. ὑποληπτέον τῇ φύσει V[2]: τῇ φύσει ὑπολ. cett. ‖ 14—15. τροπικὸν καὶ τῶν παρ᾽ ἡμῖν κύκλων V[1]B (ὃν supra τῶν et κύκλων scr.) V[2]V. ‖ 15. ὑπεροικούντων cod.[2] Pet. περὶ τῶν codd. ‖ 16. χειμερινῶν τροπικῶν V[1]V. | δὲ ἀντ. edd. ‖ 19. δαίδαται V[1], δέδαται V, δεδάαται ed. pr. ‖ 20. δυσσομένου Ur. H. Mi. ‖ 22. ἰδιωτικῶς vix recte corrigere voluit Usener, cf. Wachsmuth, de Cratete Mall. p. 46. | κατ᾽ ἀλήθ. vulg., cf. cett. locos, quos affert ind. gr. s. v. ἀλήθεια.

σταται τὴν γῆν καὶ συνάπτουσαν τῷ κόσμῳ καὶ κύκλῳ
67 *τὸν ὠκεανὸν περικείμενον καὶ τὴν τοῦ ὁρίζοντος ἐπέχοντα τάξιν καὶ τὰς ἀνατολὰς* ⟨*γινομένας*⟩ *ἐκ τοῦ ὠκεανοῦ καὶ τὰς δύσεις εἰς τὸν ὠκεανόν. ὥςτε τοὺς πλησιάζοντας τῇ ἀνατολῇ καὶ τῇ δύσει Αἰθίοπας ὑπελάμβανον* B
γίνεσθαι καταιθομένους ὑπὸ τοῦ ἡλίου. 6

29 *Αὕτη δ᾽ ἡ πρόληψις τῇ μὲν προκειμένῃ διατάξει ἀκόλουθός ἐστι, τῆς δὲ κατὰ φύσιν σφαιροποιίας ἀλλοτρία. ἡ γὰρ γῆ μέση κεῖται τοῦ σύμπαντος κόσμου σημείου τάξιν ἐπέχουσα. αἱ δὲ ἀνατολαὶ τοῦ ἡλίου* 10 *καὶ αἱ δύσεις γίνονται ἐκ τοῦ αἰθέρος καὶ εἰς τὸν αἰθέρα, διὰ παντὸς τοῦ ἡλίου ἴσον ἀπέχοντος τῆς γῆς.*
30 *ὅθεν αἱ μὲν προειρημέναι Αἰθιοπίαι ἀδιανόητοί εἰσιν, αἱ δ᾽ ὑπὸ τοὺς ἐν τῷ κόσμῳ τροπικοὺς κείμεναι, αἵ-* C *τινες ὑπάρχουσι περὶ τὰ πέρατα τῶν διακεκαυμένων* 15
31 *ζωνῶν, κατὰ φύσιν ἔχουσιν. οὐ μέντοι γε ὑποληπτέον ἀοίκητον εἶναι τὴν διακεκαυμένην ζώνην. ἤδη γὰρ ἐπὶ πολλοὺς τόπους τῆς διακεκαυμένης ζώνης ἐληλύθασί τινες, καὶ τὰ πλεῖστα οἰκήσιμα εὕρηται.*

32 *Ὅθεν καὶ ζητεῖται παρὰ πολλοῖς, εἰ τὰ περὶ μέ-* 20 *σην τὴν διακεκαυμένην οἰκησιμώτερα μᾶλλόν ἐστι τῶν* D *περὶ τὰ πέρατα τῆς διακεκαυμένης ζώνης ὑπαρχουσῶν οἰκήσεων. Πολύβιος οὖν ὁ ἱστοριογράφος πεπραγμάτευται βιβλίον, ὃ ἐπιγραφὴν ἔχει „περὶ τῆς ὑπὸ τὸν ἰσημερινὸν οἰκήσεως". αὕτη δέ ἐστιν ἐν μέσῃ τῇ δια-* 25
33 *κεκαυμένῃ ζώνῃ. καί φησιν οἰκεῖσθαι τοὺς τόπους*

---

1. *συνάπτουσαν**] *συνάπτουσι* vulg.; *et quod due fines eius sunt continuate cum mundo* Lat. ‖ 7. *δ᾽ ἡ*] *δὴ* V^1V^2, *δὲ ἡ* edd. ‖ 11. *καὶ αἱ δύσεις γίνονται* transposui: *γίνονται καὶ αἱ δύσεις* vulg. ‖ 12. *τοῦ ἡλίου* vix recte legitur: *et quia elongatio caeli a terra est equalis* Lat. ‖ 14. *δὲ ὑπὸ* edd. ‖ 15. *περὶ**] *ἐπὶ* vulg., cf. ind. gr. s. v. *πέρας*. ‖ 18. *τῆς ζώνης τῆς διακεκαυμένης* edd. ‖

nahme, stellen sich nämlich die Erde als eine flache, mit dem Weltall zusammenhängende (Scheibe) vor; das Weltmeer ist im Kreise um dieselbe herumgelegen und nimmt die Stelle des Horizonts ein, die Aufgänge nehmen sie als aus dem Weltmeere, die Untergänge als in dasselbe stattfindend an. Daher auch die Annahme, dafs die in der Nähe des Aufgangs und des Untergangs wohnenden Äthiopier (d. s. Brandgesichter) von der Sonne verbrannt werden.

Diese Vorstellung steht mit der im vorstehenden geschilderten Weltanschauung im besten Einklange, mit der in Wirklichkeit bestehenden Kugelgestalt ist sie aber nicht vereinbar. Die Erde liegt nämlich in der Mitte des gesamten Weltalls und nimmt zu demselben die Stelle eines Punktes ein. Die Auf- und Untergänge der Sonne finden aus dem Äther und in den Äther statt, wobei die Entfernung der Sonne von der Erde immer die gleiche bleibt. Daher sind die oben erwähnten Äthiopierländer undenkbar, wogegen die unter den kosmischen Wendekreisen und somit an den Grenzen der heifsen Zone gelegenen ihre natürliche Begründung haben. Jedenfalls darf man nicht annehmen, dafs die heifse Zone unbewohnbar sei. Denn schon bis zu vielen Orten der heifsen Zone ist man vorgedrungen und hat sie zum gröfsten Teile bewohnbar gefunden. 29 30 31

Daher wird auch vielfach die Frage erörtert, ob die Region in der Mitte der heifsen Zone unter günstigeren Verhältnissen bewohnbar sei, als die an den Grenzen derselben gelegenen Wohnorte. Der Geschichtschreiber Polybios hat eine Schrift verfafst, welche betitelt ist: „Von dem Wohnort unter dem Äquator“. Derselbe ist mitten in der heifsen Zone gelegen. Er behauptet nun, dafs diese Gegenden bewohnbar seien und ein gemäfsigteres Klima haben, als die Wohnorte an den Grenzen der heifsen 32 33

23. Πολύβιος] *et apolonius quidem auctor enunciationis* Lat. γοῦν V². ‖ 24. ὑπὸ*] περὶ vulg.; *de locis habitationis, qui sunt sub equatore diei* Lat.; cf. ind. gr. s. v. ὑπό. ‖ 25. δ' ἐστὶν V²V.

*καὶ εὐκρατοτέραν ἔχειν τὴν οἴκησιν τῶν περὶ τὰ πέ-
ρατα τῆς διακεκαυμένης ζώνης κατοικούντων. καὶ ἃ
μὲν ἱστορίας φέρει τῶν κατωπτευκότων τὰς οἰκήσεις
καὶ ἐπιμαρτυρούντων τοῖς φαινομένοις, ἃ δὲ ἐπιλογί-* E
ζεται ἐπὶ τῆς φυσικῆς περὶ τὸν ἥλιον ὑπαρχούσης 5
34 *κινήσεως. ὁ γὰρ ἥλιος περὶ μὲν τοὺς τροπικοὺς κύ-
κλους πολὺν ἐπιμένει χρόνον κατά τε τὴν πρόσοδον
τὴν πρὸς αὐτοὺς καὶ τὴν ἀποχώρησιν, ὥςτε σχεδὸν
ἐφ' ἡμέρας μ΄ μένει πρὸς αἴσθησιν ἐπὶ ⟨τῶν⟩ τρο-*
35 *πικῶν κύκλων. [δι' ἣν αἰτίαν καὶ τὰ μεγέθη τῶν* 10
*ἡμερῶν σχεδὸν ἐφ' ἡμέρας μ΄ τὰ αὐτὰ διαμένει.] ὅθεν
ἐπιμονῆς γινομένης πρὸς τὰς οἰκήσεις τὰς κειμένας
ὑπὸ τοὺς τροπικοὺς ἀνάγκη ἐκπυροῦσθαι τὴν οἴκησιν* 55 A
καὶ ἀοίκητον γίνεσθαι διὰ τὴν τοῦ καύματος ὑπερ-
36 *βολήν. ἀπὸ δὲ τοῦ ἰσημερινοῦ κύκλου ταχείας συμ-* 15
68 *βαίνει τὰς ἀποχωρήσεις γίνεσθαι. [ὅθεν καὶ τὰ μεγέθη
τῶν ἡμερῶν περὶ τὰς ἰσημερίας μεγάλας λαμβάνει τὰς
παραυξήσεις.] εὔλογον οὖν καὶ τὰς ὑπὸ τὸν ἰσημερινὸν
κειμένας οἰκήσεις εὐκρατοτέρας ὑπάρχειν, ἐπιμονῆς μὲν
⟨οὐ⟩ γινομένης ἐπὶ τοῦ κατὰ κορυφὴν σημείου, τα-* 20
37 *χέως δὲ ἀποχωροῦντος τοῦ ἡλίου. πάντες γὰρ οἱ με-* B
*ταξὺ τῶν τροπικῶν κύκλων οἰκοῦντες παρὰ τὴν πάρ-
οδον ὁμοίως κεῖνται τοῦ ἡλίου· πλείονας δὲ χρόνους*
38 *ἐπιμένει τοῖς περὶ τοὺς τροπικοὺς οἰκοῦσι. δι' ἣν αἰ-
τίαν εὐκρατοτέρας εἶναι συμβέβηκε τὰς ὑπὸ τὸν ἰση-* 25
*μερινὸν οἰκήσεις, αἵτινες κεῖνται ἐν μέσῃ τῇ διακε-
καυμένῃ ζώνῃ, τῶν περὶ τὰ πέρατα τῆς διακεκαυμένης
οἰκήσεων, αἵτινες ὑπὸ τοὺς τροπικοὺς κύκλους κεῖνται.*

---

2. *οἰκούντων* edd. ‖ 7. *τε* om. edd. | *πάροδον* edd. ‖ 9. *ἐπὶ τροπικὸν κύκλον* V^1 (*τὸν* add. supra lin. m. 1) V^2V, *ἐπὶ τὸν τρ. κ.* B. | *τῶν* adieci. ‖ 10. *καὶ* om. edd. ‖ 11. *ταὐτὰ* Ur. H. Mi. ‖

Zone. Teils bietet er Erzählungen von Reisenden, welche diese Wohnorte aus eigener Anschauung kennen gelernt haben und die Himmelserscheinungen durch ihre Aussagen bestätigen, teils zieht er logische Folgerungen aus der von Natur der Sonne eigenen Bewegung. Die Sonne 34 verharrt nämlich in der Nähe der Wendekreise lange Zeit sowohl bei ihrem Herantreten an dieselben, als auch bei ihrem Wegrücken, sodaſs sie beinahe 40 Tage lang für die sinnliche Wahrnehmung auf den Wendekreisen stehen bleibt. [Aus diesem Grunde bleibt auch die Länge der 35 Tage beinahe 40 Tage lang dieselbe.] Indem infolge hiervon ein Verharren bei den unter den Wendekreisen gelegenen Wohnorten entsteht, müssen diese notwendigerweise ausgedörrt und infolge der übermäſsigen Hitze unbewohnbar werden. Vom Äquator dagegen findet ein 36 rasches Wegrücken statt. [Daher nimmt auch die Länge der Tage zur Zeit der Nachtgleichen rasch zu.] Ganz natürlich haben nun auch die unter dem Äquator gelegenen Wohnorte ein gemäſsigteres Klima, weil ein Verharren im Scheitelpunkte nicht stattfindet, sondern die Sonne rasch weiterrückt. Denn alle diejenigen, welche 37 zwischen den Wendekreisen wohnen, befinden sich räumlich zur Bahn der Sonne in demselben Verhältnis, während die Sonne längere Zeit über denjenigen verweilt, welche direkt unter den Wendekreisen wohnen. Aus diesem 38 Grunde müssen die Wohnorte unter dem Äquator, welche in der Mitte der heiſsen Zone liegen, ein gemäſsigteres Klima haben, als die Wohnorte an den Grenzen der heiſsen Zone, welche direkt unter den Wendekreisen liegen.

---

12. *ἐπἴ μονης* (sic) V², *ἐπιμόνης* V. ‖ 16. *ἀποχωρήσεις*] *παρόδους* codd. ‖ 17. *περὶ τὰς ἰσημερινὰς* codd. ‖ 18. *ὑπὸ τῶν ἰσημερινῶν* codd. ‖ 19. *ἐπιμονῆς**] *ἐπιτολῆς* vulg.; *quamvis sol veniat super punctum sumitatis capitum* Lat. ‖ 21. *ἡλίου*] *κύκλου* codd. | *οἵ* om. edd. ‖ 22. *παρὰ*] *π* (with ἐ above) V¹ (*παρὰ* B) V². ‖ 25. *ὑπὸ**] *περὶ* vulg.; *loca habitationis que sunt sub equatore diei* Lat.; cf. 176, 24. ‖ 28. *οἰκήσεων, αἵτινες**] *οἰκούντων, οἵτινες* vulg., cf. ind. gr. s. v. *οἴκησις*.

Cap. XVII.

Περὶ ἐπισημασιῶν τῶν ἄστρων. C

1 Ὁ περὶ ἐπισημασιῶν λόγος παρὰ μὲν τοῖς ἰδιώ-
ταις ἀλλοίαν ἔχει διάληψιν ὡς ἐπὶ ⟨ταῖς⟩ τῶν ἄστρων
ἐπιτολαῖς καὶ δύσεσι τῶν περὶ τὸν ἀέρα μεταβολῶν γινο- 5
μένων· ὁ δὲ μαθηματικὸς καὶ φυσικὸς ἑτέραν ἔχει δόξαν.
2 καὶ πρῶτον μὲν προδιαληπτέον, ὅτι αἱ γινόμεναι ἐπι-
σημασίαι ὄμβρων καὶ πνευμάτων περὶ τὴν γῆν γίνον-
ται, εἰς δὲ πλεῖον ὕψος οὐ διατείνουσιν· ἀναθυμιάσεις D
γάρ εἰσιν ἐκ γῆς παντοδαπαὶ καὶ ἄτακτοι· ὥστε μὴ 10
οἷόν τε εἶναι μέχρι τῆς τῶν ἀπλανῶν ἀστέρων σφαίρας
διατείνειν, ἀλλὰ μὴ δέκα στάδια τὸ ὕψος ἀνατείνειν
3 τὰ νέφη. οἱ γοῦν ἐπὶ τὴν Κυλλήνην ἀναβαίνοντες,
ὄρος δὲ ἐν τῇ Πελοποννήσῳ ὑψηλότατον, καὶ θύοντες
τῷ καθωσιωμένῳ ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους Ἑρμῇ, 15
ὅταν πάλιν δι᾽ ἐνιαυτοῦ ἀναβαίνοντες τὰς θυσίας ἐπι-
τελῶσιν, εὑρίσκουσι καὶ τὰ μηρία καὶ τὴν τέφραν τὴν
ἀπὸ τοῦ πυρὸς ἐν τῇ αὐτῇ τάξει μένουσαν, ἐν ᾗ καὶ E
κατέλιπον, καὶ μήθ᾽ ὑπὸ πνευμάτων μήθ᾽ ὑπὸ ὄμβρων
ἠλλοιωμένα διὰ τὸ πάντα τὰ νέφη καὶ τὰς τῶν ἀνέμων 20
69 συστάσεις ὑποκάτω τῆς τοῦ ὄρους κορυφῆς συνίστα-
4 σθαι. πολλάκις δὲ καὶ οἱ εἰς τὸ Σαταβύριον ἀναβαί-
νοντες διὰ τῶν νεφῶν ποιοῦνται τὴν ἀνάβασιν καὶ
ὑποκάτω τῆς τοῦ ὄρους κορυφῆς θεωροῦσι τὴν τῶν
5 νεφῶν σύστασιν. καὶ ἔστι μὲν τῆς Κυλλήνης τὸ ὕψος 25

---

2. τ̃ ᾽⁂ V[1], *τῶν χρόνων* B cod.[1] Pet. (propter similitudinem sigli ⁂). ‖ 4. *ἀλλοῖαν* V. | *ταῖς* adieci, cf. ind. gr. s. v. *ἐπιτολή*. ‖ 6. ⟨*ὁ*⟩ *φυσικὸς* ⟨*λόγος*⟩ supplendum esse videtur, cf. 172, 21. ‖ 7. *προδιαληπτέον* V[2]: *διαληπτέον* cett. ‖ 11. *οἱαί τε* (sic) H. | *τῶν* om. V ed. pr. | *ἄστρων* V[1]. ‖ 12. *μὴ δέκα στάδια**] *μηδ᾽*

Siebzehntes Kapitel.

Von den Witterungsanzeichen aus den Sternen.

Hinsichtlich der Lehre von den Witterungsanzeichen 1 herrscht bei den Laien der ganz verwerfliche Aberglaube, dafs die in der Luft stattfindenden Veränderungen (thatsächlich) auf Grund der heliakischen Auf- und Untergänge der Sterne eintreten. Die Mathematik und die Naturwissenschaft lehrt jedoch eine ganz andere Auffassung. Und zwar mufs an erster Stelle vorausgeschickt 2 werden, dafs die eintretenden Witterungsanzeichen von Wind und Regen in unmittelbarer Nähe der Erde stattfinden, in eine bedeutendere Höhe sich aber nicht erstrecken; denn es sind mannigfache und regellose Ausdünstungen aus dem Erdboden. Daher können die Wolken unmöglich bis zur Fixsternsphäre reichen, sondern erstrecken sich kaum bis in eine Höhe von 10 Stadien (1850 Meter). So finden z. B. die (Prozessionen), welche auf das Kyllene- 3 gebirge, das höchste Gebirge im Peloponnesos, hinaufziehen, um dem auf dem Gipfel verehrten Hermes zu opfern, wenn sie nach Jahresfrist wieder hinaufkommen, um ihre Opfer darzubringen, Opferfleisch und die von dem Brandopfer herrührende Asche in genau demselben Zustande, in welchem sie diese Gegenstände verlassen hatten, und weder durch Wind noch Regen verändert, weil alle Wolkenbildung und das Auftreten von Winden nur unterhalb des Gipfels des Berges stattfindet. Oft machen auch 4 Leute, welche den Atabyris besteigen, den Aufstieg durch Wolken und erblicken dann die Wolkenzüge unter-

---

ἕκαστα διὰ vulg. (μὴ δ' ἕκ. V^1V^2); *et propter illud non est locus nubium in aere longinquus valde* Lat.; hanc correcturam publicavi Annal. Fleckeisen. 131 (1885) p. 511 sq. ‖ 13. *κυλλίνην* codd. ‖ 14. δὲ om. edd. | *Πελοποννήσῳ* Mi.: *Πελοπονήσῳ* cett. ‖ 20. τὸ τὰ πάντα τὰ V^1V. ‖ 22. *Ἀταβύριον* legi voluit *Pet.*; cf. Stephanum s. h. v., Strab. Geogr. lib. XIV cap. II § 12 (ὁ *Ἀτάβυρις*). ‖ 25. *Κυλλίνης* V^1V ed. pr., *κυλίνης* V^2.

ἔλασσον σταδίων ιε΄, ὡς Δικαίαρχος ἀναμεμετρηκὼς 56 A
ἀποφαίνεται. τοῦ δὲ Σαταβυρίου ἐλάσσων ἐστὶν ἡ
κάθετος σταδίων δέκα. πάντα γὰρ τὰ νέφη, καθάπερ
εἴπομεν, ἐκ γῆς ἔχοντα τὴν ἀναθυμίασιν, περὶ τὴν
γῆν γίνεται. 5

6 *Αἱ δὲ γινόμεναι προρρήσεις τῶν ἐπισημασιῶν ἐν*
τοῖς παραπήγμασιν οὐκ ἀπό τινων παραγγελμάτων
ὡρισμένων γίνονται, οὐδὲ τέχνῃ τινὶ μεθοδεύονται
κατηναγκασμένον ἔχουσαι τὸ ἀποτέλεσμα, ἀλλ᾿ ἐκ τοῦ ὡς
ἐπίπαν γινομένου διὰ τῆς καθ᾿ ἡμέραν παρατηρήσεως 10
τὸ σύμφωνον λαμβάνοντες εἰς τὰ παραπήγματα κατε- B
7 *χώρισαν. ἐγένετο γὰρ ἡ σύστασις καὶ ἡ παρατήρησις*
τὸν τρόπον τοῦτον. λαμβάνοντες γὰρ ἀρχὴν ἐνιαυτοῦ
καὶ παρατηρήσαντες, ἐν τίνι ζῳδίῳ ὁ ἥλιος ὑπῆρχε
κατὰ τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ, καὶ πρὸς τὴν μοῖραν 15
ἀναγράφοντες καθ᾿ ἑκάστην ἡμέραν καὶ μῆνα τὰς γε-
νομένας ὁλοσχερεῖς μεταβολὰς τοῦ ἀέρος, πνευμάτων,
ὄμβρων, χαλάζης, παρετίθεσαν ταῖς τοῦ ἡλίου ἐποχαῖς
8 *κατὰ ζῴδιον καὶ κατὰ μοῖραν. τοῦτο ἐπὶ πλείονα ἔτη*
παρατηρήσαντες τὰς μάλιστα περὶ τοὺς αὐτοὺς τόπους 20
τοῦ ζῳδιακοῦ γινομένας μεταβολὰς ἐν τοῖς παραπήγ- C
μασιν ἀνεγράψαντο, οὐκ ἀπό τινος τέχνης οὐδὲ μεθόδου
ὡρισμένης λαβόντες τὴν ἀναγραφήν, ἀλλ᾿ ἐκ τῆς πείρας
9 *τὸ σύμφωνον ὡς ἔγγιστα λαβόντες. ἐπεὶ δὲ οὐκ ἐδύ-*
ναντο οὔθ᾿ ἡμέραν οὔτε μῆνα οὔτε ἐνιαυτὸν ὡρισμέ- 25

---

1. *δικέαρχος* V[2]. | *ἀναμεμετρηκὼς* recepi ex coni. *Pet.*: *ἀναμετρικῶς* vulg.; cf. *Creuzer,* Allg. Schulztg. 1832 2. Abt. Nr. 5 p. 34. ‖ 2. *ἔλασσόν ἐστιν* codd. ‖ 3. *δέκα**] $\bar{\delta}$ V[1]V[2] codd. Pet., *ιδ΄* V (*ι* adscr. m. 2); *10 stadia* Lat. | *καθάπερ* ὃ V[1]V[2]. ‖ 4. *εἴπαμεν* V[2]. ‖ 7. *ἀπὸ τίνων* B, *ἀπὸ τινῶν* edd. ‖ 9. *ἀλλ᾿ οἱ ἐκ* edd. ‖ 11. *κατεχώρησαν* codd. ed. pr. ‖ 12. *γὰρ*] *δὲ* Ur. H. Mi. ‖ 13. *τοῦ τρόπου τούτου* Ur. H. Mi. ‖ 14. *ἔν τινι* V[1]V[2], *ἐν τινὶ* ed. pr. ‖

halb des Gipfels des Berges. Nun beträgt die Höhe des 5
Kyllenegebirges nach den Messungen von Dikaiarchos
weniger als 15 (2725 Meter), die des Atabyris weniger
als 10 Stadien (1850 Meter); (Beweis, dafs) alle Wolken,
welche, wie gesagt, ihren Entstehungsgrund in Ausdünstungen der Erde haben, sich eben nur in unmittelbarer Nähe der letzteren bilden.

Die üblichen vorläufigen Angaben der Witterungs- 6
anzeichen in den Kalendern werden nicht nach bestimmten Regeln gemacht, noch beruhen sie auf einer wissenschaftlichen Methode, nach der sie Anspruch auf notwendige Erfüllung hätten, sondern (die Kalendermacher) haben aus den regelmäfsig eintretenden Erscheinungen mit Hilfe der täglichen Beobachtung das herausgenommen, was ihnen pafst, und es in ihre Kalender gesetzt. Diese mit 7
